# ΚΕΦΑ΄ΛΑΙΟΝ Δ΄.

## ΠΕΡΙ᾽ Α᾽ΛΗΘΕΙ΄ΑΣ ΠΙΘΑΝΗ῀Σ

## ΠΑΡΑ΄ΓΡΑΦΟΝ ΤΕ΄.

Ὥσπερ βεβαίους εἶναι ἡμᾶς περὶ ἀληθείας ἢ ψεύδους προτάσεώς τινος εἴπομεν, ὅτε τὴν οἰκειότητα, ἢ ἀνοικειότητα τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον διακεκριμένως γινώσκομεν, μηδενὸς φόβου τοῦ ἀντικειμένου χώραν ἀπέχοντος (ΤΜΗ.), καὶ πάντα τὰ εἰς ἀλήθειαν παρεῖναι ἀπαιτούμενα οἴδαμεν (ΤΓ.) οὕτως ἐκ τοῦ ἐναντίου πρότασις ἔσται ἡμῖν πιθανή, ἐν ᾗ τὸ Κατηγορούμενον διά τινα μόνον εἰς ἀλήθειαν ἀπαιτούμενα, καὶ ἑπομένως διὰ λόγον μὴ ἀποχρῶντα. Ὥστε πιθανῶς κρίνειν ὀρθῶς ἡμᾶς λέγεσθαι, ὅτε ἔκ τινων ἀπαιτουμένων εἰς τὴν ἀλήθειαν ἤτοι ἔκ τινων περιστάσεων τὴν τοῦ πράγματος ὕπαρξιν συμπεραίνομεν.

„ Ὁ ἐντιμ. νέον, παρ. χάρ. παρατηρῶν α΄. Ἀγχίνοιαν ὑπερέχουσαν καὶ ταχεῖαν β΄. Τὴν μαν-
„ θάνειν ἐπιθυμίαν, γ΄. Πόνον ἀκάματον δ΄. Τῶν εἰς κτῆσιν τῆς παιδείας ἐπικαιριῶν εὐ-
„ πορίαν ε΄. Πρόθυμον καὶ πιστὴν διδασκαλίαν, καὶ διὰ ταύτας ἤδη τὰς περιστάσεις κρίνων
„ τὸν παῖδα τοῦτον ἔσεσθαί ποτε ἄνδρα σοφὸν καὶ εἰς κόσμον ἀποβῆναι τῆς τῶν σοφῶν πο-
„ λιτείας οὗτος πιθανῶς κρίνει. Οἶδε γὰρ μόνον τινὰ εἰς ἀλήθειαν ἀπαιτούμενα, ἀγνοεῖ
„ γὰρ εἴπερ ἡ τῆς ἀγχινοίας ἀκμὴ νόσῳ, ἢ ἑτέρῳ συμβάματι διαφθαρῆναι δυναμένη
„ διαμενεῖ συνεχῶς, καὶ εἴπερ ὁ νέος, ἐπὶ τὰς κακίας εὐκατάφορος τὴν ἐπιμέλειαν
„ συνεχίσει.

„ Ὁ Ἀριστοτέλης πάλιν πιθανὸν ἀπεκάλεσε, τὸ τοῖς πᾶσι δοκοῦν, ἢ τοῖς πλείοσιν,
„ ἢ τοῖς σοφοῖς. Ταύτην δὲ τὴν τῆς πιθανότητος Ἔννοιαν ἀποδοκιμασίαν εἶναι,
„ ἐν τῇ ἀναπτύξει ἀποδείξει.

„ Ὁ περιφανὴς Ῥυδιγέρος ὁ ἐν τῇ περὶ πιθανοῦ διδασκαλίᾳ θεωρίας ἀρίστας ἐπιφέρων τὸ
„ πρὸ πάντων ἐξαρπάζων τὴν νίκην, τὴν πιθανότητα γενικῶς καλεῖ διανόημα, ἐν ᾧ ἐκ
„ τῆς πλειόνων αἰσθήσεων συνελεύσεως ἐν ὑποθέσει τινὶ τῇ αἰσθήσει ἐκ ἀπαντώσῃ ἀ-
„ μέσως συμπεραίνομεν διὰ βεβαιώσεως ἐ πάσης ἐξαιρέσεως κρείττονος. Ὅρα περὶ
„ αἰσθήσεως ἀληθοῦς καὶ ψευδοῦς βιβλίῳ Γ΄. Κεφ. Α΄. σελ. 10 Ἡ δὲ συνέλευσις τῶν

„ πολ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Φ.Δ. της ... ΙΩΑΝΝΙΝΑ 2006

„ πολλῶν αἰσθάσεων ἐν ὑποθέσει τινὶ συνίςαται, ἐν τῷ τὴν ὑπόθεσιν εἶναι ὥσπερ ἀρ-
„ χὴν, καὶ πλείστας αἰσθάσεις ὡς ἀποτέλεσμα ἐκ τῆς οἰκείας αἰτίας, καὶ συμπεράσματα
„ ἐξ αὐτῶν ἀναπτύσσεσθαι· ἡ γὰρ ὑπόθεσις πρότασίς ἐςιν, ἥνπερ ὡς ἀληθῆ λαμβά-
„ νομεν, ὅτι αἱ ἰδιότητες καὶ διαθέσεις τοῦ πράγματος ἁρμοζόντως ἐξ αὐτῆς ἀναπτύσ-
„ σονται. *Ἡ κατὰ τὸν Βόλφιον ὑπόθεσις* ἐςὶ λῆψις τῶν ἔτι μὴ ἀποδειχθῆναι δυ-
„ ναμένων, ὡς ὄντων εἰς ἀπόδοσιν λόγου. *Παρ. χάρ.* Εἴτις τῶν ἰατρῶν ταύτην προσ-
„ λάβῃ τὴν πρότασιν, τὴν ψυχὴν, ἐνεργητικῶς καὶ φυσικῶς ἐνεργεῖν εἰς τὸ σῶμα,
„ καὶ τὸ σῶμα ἐνεργητικῶς καὶ φυσικῶς ἐνεργεῖν εἰς τὴν ψυχὴν, ὅτι τὰ φαινόμενα ἐν τῷ
„ ἀνθρωπίνῳ σώματι προσφυῶς οὕτω δύναται ἐξηγεῖσθαι, τότε δὴ ἡ λῆψις αὕτη τῶν
„ προτάσεων τῶν μήπω ἀποδειχθῆναι δυναμένων, ῥηθείη ὑπόθεσις· εἶδε παρ. χάρ. *Οἱ*
„ *περὶ τὸν Κοπέρνικον* τὴν πρότασιν λαμβάνουσι ταύτην, ἡ Γῆ κινεῖται. *Ἡ ὑπόθε-*
„ *σις αὕτη Κοπερνικεία* καλεῖται, ὅτι ἐκ ταύτης αἰσθάσεις καὶ φαινόμενα ἐν τοῖς οὐρα-
„ νίοις μάλιςα σώμασιν οἰκειότατα δύναται ἐξηγεῖσθαι. *Ἥτις* πιθανή ἐςιν, ὅτι οὐδε-
„ μία αἴσθησις καὶ φαινόμενον διαμάχεται ταύτῃ, ἀλλ' ἄριςα αὐτῇ συμφωνεῖ· φαινομέ-
„ νων δέ τινων ταύτης σαφῶς διαμαχομένων, ἔςαι ψευδής.

## ΥϚ΄.

Ἐκ τοῦ ἐν τῷ (ΥΕ΄.) ὑποτιθέντος ὁρισμοῦ δηλοῦται·

Α΄. Τοσοῦτον εἶναι πιθανωτέραν τὴν πρότασιν, ὅσον πλείω ἀπαιτούμενα εἰς ἀλήθειαν πάρεστιν, δι' ἅπερ τῷ ὑποκειμένῳ τὸ κατηγορήμενον ἀπονέμεται.

Β΄. Πᾶν πιθανὸν ὀφείλειν εἶναι καὶ δυνατόν.

Ἐπεὶ γὰρ ἐπὶ πάσης πιθανότητος τὸ ζήτημα ἐςὶ περὶ τῆς τοῦ πράγματος ὑπάρξεως (ΥΕ΄.), Πᾶσα δὲ ὕπαρξις ὑποτίθησι δυνατότητα (κατὰ τὰς μεταφυσικὰς ἀρχὰς) πρόδηλόν ἐςι πᾶν πιθανὸν, ὀφείλειν εἶναι καὶ δυνατόν.

Γ΄. Οὐ πᾶν δὲ δυνατὸν εἶναι πιθανὸν ἐντεῦθεν ὡσαύτως μανθάνεις. Ἐπεὶ γὰρ ἀπὸ τοῦ δύνασθαι εἰς τὴν ὕπαρξιν οὐδεμία ἐςὶ συνέπεια (κατὰ τὰς μεταφυσικὰς ἀρχὰς) ἐν δὲ τῇ πιθανότητι τοῦ πράγματος ἢ τοῦ φαινομένου ὑποτίθεται ὕπαρξις (ΥΕ΄.) πρόδηλον ὅτι τὸ καθαρῶς δυνατὸν, οὐ παραχρῆμα ἐςὶ πιθανόν, τὰς προτάσεις ταύτας παραδείγμασι σαφηνίσομεν. Παρ. χάρ. Εἴπερ ἐν τῷ Δημητρίῳ μειρακίῳ ὄντι παρατηρήσειας τοῦ μανθάνειν ἐπιθυμίαν πιςὴν, καὶ πρόθυμον ὡσαύτως διδασκαλίαν, ἀγχίνοιαν ὑπερβάλλουσαν, τῶν ἐπικουριῶν εὐπορίαν, πιθανώτερον ἔςαι τὸν Δημήτριον ὑπάρξειν σοφὸν,

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Λ.Ι.Α. τμήμ. Κ.τ.π. ΙΩΑΝΝΙΝΑ 2006

φὸν, ἅπερ ὅτι μόνην ἐν ἑαυτῷ τὴν τοῦ μανθάνειν ἐπιθυμίαν παρατηρεῖς. Οὐδεμία δὲ τῆς ἀγχινοίας δεξιότητα, οὐδεμίαν ἐπικουρίαν, καὶ οὐδεμίαν διδασκαλίαν. Ταῦτα πρὸς τὴν α΄. πρότασιν.

Οὐ πᾶν τὸ δυνατὸν εἶναι πιθανὸν διὰ τοῦ παραδείγματος τοῦδε γνώσῃ. Δυνατὸν παρ. χάρ. ταύτῃ σε τῇ ὥρᾳ χίλια χρυσᾶ νομίσματα λαβεῖν παρὰ τοῦ φίλου Νικολάου, οὐ γὰρ περιέχει ἀντίφασιν, ἀλλ᾽ οὐκ ἔστι πιθανὸν διὰ τὸ μηδεμίας περιστάσεις τινὰς, οὔτε φαινόμενα φαίνεσθαι, δι᾽ ἅπερ δύναιο κρίναι, ὡς λήψῃ παρὰ τοῦ Νικολάου χίλια χρυσᾶ νομίσματα. Τεθήτω πρῶτον, τὸν Νικόλαον εἶναι πλούσιον· δεύτερον τὸν Νικόλαον ὀφείλειν σοι χίλια χρυσᾶ νομίσματα· τρίτον ὑποσχεθῆναι πιστῶς ἀποτίσειν τῇ ὥρᾳ ταύτῃ τὸ ὀφειλόμενον· οὕτω δή τινες φαίνονται περιστάσεις, δι᾽ ἅσπερ δύνασαι πιθανῶς κρίνειν τῇ ὥρᾳ ταύτῃ χίλια χρυσᾶ νομίσματα λήψεσθαι. Πιθανὸν οὖν ἐστὶ λήψεσθαί σε τὸ ὀφειλόμενον τῶν χρημάτων κεφάλαιον, ὅτι δὲ πιθανόν ἐστιν, ἔσται πάντως καὶ δυνατόν. Λίαν δὲ ἀκριβῶς τὸ δυνατὸν ὀφείλει τοῦ πιθανοῦ διακρίνεσθαι, ὅτι ἐν τοῖς ἠθικοῖς ἡ διαφορὰ αὕτη ἐν τοῖς μάλιστα ἡμῖν ἐστὶ χρήσιμος. Ἄλογον παρ. χάρ. ἐλπίδα εἶναι διδάσκομεν ἐν τοῖς ἠθικοῖς τὴν ἐρειδομένην τοῖς δυνατοῖς, λογικὴν δὲ τὴν ἐρειδομένην τοῖς πιθανοῖς.

## ΥΖ΄.

Μέχρι τοῦδε περὶ τῆς πιθανῆς προτάσεως· συλλογισμὸν δὲ πιθανὸν λέγομεν, ἐν ᾧ ἡ ἑτέρα τῶν προκειμένων ἐστὶ πρότασις πιθανή. Οἱ ἰδιῶται παρ. χάρ. οἱ κατὰ πιθανὴν συνείδησιν τὰς αὐτῶν ἐνεργείας ἄγοντες, καὶ τὸ ἀγαθὸν, ἢ κακὸν τῶν ἐνεργειῶν ἐκ διανοημάτων ἐσωτερικῶν ὁριζόμενοι, οὕτω πολλάκις διανοοῦνται.

„ Πᾶν ὅ, τι ὁ ποιμὴν (ἤτοι ὁ ἱερεὺς) ὁ τῆς τοῦ θείου θελήσεως ἔμπειρος καὶ τῶν ἠθῶν διορ-
„ θωτὴς ὑποδύεται, θεμιτόν ἐστιν.
„ Ἀλλ᾽ ὁ ποιμὴν τὴν ὄρχησιν ὑποδύεται.
„ Ἄρα, ἡ ὄρχησίς ἐστι θεμιτή.

Ὁ συλλογισμὸς οὗτος πιθανός ἐστιν, ὅτι ἡ μείζων πιθανή. Ἐκάλουν δὲ τὸν συλλογισμὸν τοῦτον οἱ πάλαι διαλεκτικὸν καὶ τοπικόν· τόποι γὰρ παρὰ τοῖς ἀρχαίοις ἦσαν τῶν πιθανῶν ἐπιχειρημάτων, ἅσπερ ταμεῖα. Περὶ ὧν



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ
ΙΩΑΝΝΙΝΑ 2006

δὴ τόπων τοπικῶν λεγομένων, ὅ,τι χρὴ καὶ ὑπολαμβάνειν, καὶ ἥτις τῷ φιλοσόφῳ, ἢ τῷ ῥήτορι ἐκ τούτων ὠφέλεια, ἐν τῇ διαπτύξει δηλωθήσεται.

## ΥΗ.

**Ἡ διαφορὰ τοιγαροῦν ἡ μεταξὺ τοῦ ἀποδεικτικοῦ καὶ τοῦ πιθανοῦ, ἤτοι διαλεκτικοῦ συλλογισμοῦ εὑρισκομένη, οὐκ ἐν τῷ εἴδει, ἀλλ' ἐν τῇ ὕλῃ ζητητέα ἐστι.**

Δείκν. Ἐπεὶ γὰρ ἐπὶ τῆς ἀποδείξεως, ἤτοι τοῦ ἀποδεικτικοῦ Συλλογισμοῦ βέβαιοι καὶ ἀναμφίλεκτοι προκείμεναι μόνον παραλαμβάνονται. (ΓΙΙς΄.) Ὥσπερ ἐν τῷ πιθανῷ ἢ διαλεκτικῷ συλλογισμῷ, πιθαναὶ (ΥΖ.)· Αἱ δὲ προκείμεναι τὴν ὕλην τῶν συλλογισμῶν συνιστῶσι (ΣΜς΄.)· Ἕπεται ἤδη τὴν τοῦ ἀποδεικτικοῦ καὶ πιθανοῦ διανοήματος διαφορὰν ἐν τῇ ὕλῃ θεωρεῖσθαι, μηδ' ἄλλῳ τινὶ τὸν ἀποδεικτικὸν καὶ διαλεκτικόν, ἢ πιθανὸν συλλογισμὸν διαφέρειν ἀλλήλων, εἰμὴ ταῖς ἀρχαῖς.

## ΥΘ΄.

**Ἡ πρότασις ἡ πιθανῶς ἡμῖν οὖσα ἀληθής, δύναται εἶναι ψευδής.**

Δείκν. Ἐπεὶ γὰρ πρότασις ἡμῖν πιθανῶς ἐστιν ἀληθής, ἐν ᾗ τὸ Κατηγορούμενον ἀπονέμεται τῷ ὑποκειμένῳ διά τινα μόνον εἰς τὴν ἀλήθειαν ἀπαιτούμενα, καὶ διὰ λόγον μὴ ἀποχρῶντα (ΥΔ΄.)· Εὐχερῶς ὁρᾷς δύνασθαι ὅτι τὸ Κατηγορούμενον τὸ διά τινα εἰς ἀλήθειαν προσαπαιτούμενα, καὶ διὰ λόγον μὴ ἀποχρῶντα, τῷ ὑποκειμένῳ ἀπονεμόμενον, διαμάχεσθαι τῷ ὑποκειμένῳ· οὕπω γὰρ ὁλοτελεῖς λόγοι πάρεισιν οἱ ἀναγκαίως τὸ Κατηγορούμενον τῷ ὑποκειμένῳ ἀνήκειν παραδηλοῦντες.

Εἴπερ οὖν τὸ Κατηγορούμενον τὸ διὰ λόγον μὴ ἀποχρῶντα ἐν προτάσει πιθανῇ τῷ ὑποκειμένῳ ἀπονεμόμενον, δύναται ἔτι διαμάχεσθαι τῷ ὑποκειμένῳ, καὶ ὅτε τῷ ὑποκειμένῳ διαμάχεται τὸ Κατηγορούμενον, ψευδὴς ἡ πρότασις

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΜΕΛΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργασία Κ.Θ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τις λέγεται (ΤΛ΄.)· Εὔδηλον, ὅτι ἡ πρότασις ἡ πιθανῶς ἡμῖν οὖσα ἀληθὴς, δύναται εἶναι ψευδής.

„ *Παρ. χάρ.* Ὁ ἰδιώτης κρίνει τὴν ὄρχησιν εἶναι θεμιτὴν, ὅτι ὁ ποιμὴν ὁ τὸ διάφορον εἶδος „ τοῦ ἀγαθοῦ τε καὶ πονηροῦ, ὀρχεῖται. Ἐπὶ ταύτης οὖν τῆς προτάσεως, ἡ ὄρχησίς ἐςι θεμι- „ τὴ, ὁ ἰδιώτης τὸ *Κατηγορούμενον*, τὸ θεμιτὴν εἶναι, διὰ λόγου ἀπονέμει μὴ ἀποχρῶντα, „ οὕτω γὰρ ἐπιφέρει τὴν *Κρίσιν*, ἡ ὄρχησις ἐςὶ θεμιτὴ, ὅτι ὁ ποιμὴν ὀρχεῖται.

„ Δύναται τοιγαροῦν ἡ τοῦ ἰδιώτου πρότασις, ἡ ὄρχησις ἐςὶ θεμιτὴ ἡ πιθανῶς οὖσα αὐτῷ „ ἀληθὴς τῷ πράγματι εἶναι ψευδής. Καὶ ταῦτα μὲν περὶ πιθανότητος ἐν γένει, νῦν „ δὲ ἤδη εἰς διάληψιν τῶν εἰδῶν τῆς πιθανότητος κατὰ μέρος μεταβησόμεθα. Κἀν- „ ταῦθα ταῖς σαφαῖς τοῦ *Περιφανοῦς Ῥυδιγέρου* θεωρίαις ἑπόμενοι, πρῶτον τὴν ἱςορικὴν „ πιθανότητα. β΄. Τὴν φυσικὴν, γ΄. Τὴν πολιτικην. δ΄. Τὴν πρακτικὴν, ὅπερ καὶ „ τελευταῖον, διακεκριμένως ἐκθησόμεθα.

## ΥΙ΄.

Εἰς τὴν ἀλήθειαν, ἢ διὰ πείρας, ἢ διὰ δείξεως ἀπὸ τῶν προτέρων δηλαδὴ ἀφικνύμεθα (ΤΝ΄.)· Ἐπεὶ δὲ οὔτε πάντων πειρᾶσθαι καὶ ἐκ τῶν ὑςέρων εὑρίσκειν δυνάμεθα, οὔτ᾽ ἔτι τὰς συναφείας πάντων τῶν ἡμῖν καθομολογουμένων πρὸς τὰς ἑαυτῶν πρώτας ἀρχὰς διοπτεύειν δυνάμεθα, ταύτῃ τοι πιςευτέον ἡμῖν πολλοῖς ἔτι, ὧν ἕτεροι πεῖραν ἔλαβον, ἢ παρ᾽ ἑτέρων ἀναφέρονται.

## ΥΙΑ΄.

Ἐκ τούτου ὁρᾷς διὰ τὸ πεπερασμένον τοῦ ἡμετέρου νοὸς ὀρθῶς γεννᾶσθαι τὴν πίςιν (τὴν φιλοσοφικὴν δηλαδὴ) οὐδὲν ἄλλο οὖσαν, εἰμὴ συγκατάθεσιν προτάσει διδομένην διὰ μαρτυρίαν ἑτέρου.

## ΥΙΒ΄.

Τῆς πίςεως οὖν συγκαταθέσεως οὔσης, ἥντινα προτάσει τινὶ ἀπονέμομεν διὰ μαρτυρίαν ἑτέρου (ΥΙΑ΄.) Εὔδηλόν ἐςιν, ὅτι ὁ λόγος, δι᾽ ὃν ἐν τῇ πίςει ἔχομέν τι ὡς ἀληθὲς, ἡ τοῦ διηγουμένου προσώπου, ἀξιοπιςία ἐςί.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Π.Ε. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΤΙΓ'.

Ἐπεὶ δὲ τὰ διηγούμενα πρόσωπα δι' ἄγνοιαν καὶ δεξιότητος ἔλλειψιν δύνανται, καὶ διὰ κακίαν ἐθελουσίως ἡμᾶς πολλάκις ἐξαπατᾶν, καὶ ὡς ἀληθὲς τὸ ψεῦδος παρεισωθεῖν, ἀπαιτεῖται προφυλακάς τινας παραδοῦναι, καὶ διδάξαι, τί ποτ' ἐστὶ τὸ πιθανῶς ἀληθές, καὶ τί τὸ πιθανῶς ψευδὲς ἐν τῇ διηγήσει τῶν γενομένων, ἤτοι τῶν ἱστοριῶν. Τοὺς κανόνας τοιγαροῦν τῆς ἱστορικῆς πιθανότητος, ἐν ᾗ ὡς ὑπόθεσις λαμβάνεται ἡ τοῦ μάρτυρος ἀξιοπιστία καταμεμνῆσθαι χρεών.

## ΤΙΔ'.

Ἐπὶ πάσης τοιγαροῦν ἀνθρωπίνης πίστεως καὶ ἱστορικῆς πιθανότητος ταῖς ἑπομέναις περιστάσεσι προσεκτέον.

Α'. Τῷ μάρτυρι, ἤτοι τῷ προσώπῳ τῷ διηγουμένῳ γενόμενόν τι.

Β'. Τῷ ἀναφερομένῳ πράγματι.

Γ'. Τῷ τρόπῳ τοῦ διηγεῖσθαι.

## ΤΙΕ'.

Τῶν μαρτύρων, ἤτοι τῶν διηγουμένων προσώπων, οὐχ ἡ αὐτή ἐστιν ἀξιοπιστία, καὶ ἑπομένως τῇ τῶν διηγουμένων τὸ γενόμενον διαφορᾷ προσέχειν ὀφείλεται.

## ΤΙϚ'.

Ὅσον τῇ διαφορᾷ τῶν μαρτύρων ἀνήκει, ἡ διαφορὰ θεωρεῖται. α'. Τῷ λόγῳ τοῦ νοός. β'. Τῷ λόγῳ τῆς θελήσεως καὶ γ'. Τέλος τῷ λόγῳ τῶν αἰσθήσεων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΤΙΖ΄.

Τῷ λόγῳ τοῦ νοὸς, ἄλλοι μὲν εἰσὶ μάρτυρες συνεχεῖς καὶ ἐχέφρονες, καὶ τῇ τῆς κρίσεως δωρεᾷ κεκαλλωπισμένοι· ἄλλοι δὲ ἁπλοῖ, ἄφρονες, καὶ ὄχλος, ὡς εἰπεῖν, βορβορώδης.

## ΤΙΗ΄.

Τῷ λόγῳ τῆς θελήσεως οἱ μάρτυρές εἰσιν, ἢ οὐδετέρων τῶν μερῶν, ἢ τοῦ ἑνὸς μᾶλλον ἔνοχοι, καὶ καλοῦνται ἐνεχόμενοι· ὡσαύτως εἰσὶν, ἢ χρηστοὶ, ἢ ἀδόκιμοι, καὶ τοῖς ψεύδεσιν εἰθισμένοι.

## ΤΙΘ΄.

Τῷ λόγῳ τέλος τῶν αἰσθήσεων οἱ μάρτυρες εἰσιν, ἢ μάρτυρες αὐτόπται, οἱ τὸ γενόμενον ἐνώπιον κατιδόντες, ἢ εἰσὶ μάρτυρες ὠτακουσαὶ, οἱ γενόμενόν τι εἶναι παρ᾽ ἄλλων λαβόντες. Καὶ οἱ ὠτακουσαὶ αὖθις ἢ εἰσὶ σύγχρονοι, τουτέστι τῷ αὐτῷ χρόνῳ ἔζων, καθ᾽ ὃν γενόμενόν τι συνέβη, ἢ εἰσὶ νεώτεροι παρὰ τῶν συγχρόνων, ὅ, τι οὖν διηγοῦνται, παραδεξάμενοι.

„ Ταύτης οὖν τῆς διαφορᾶς τῶν μαρτύρων προκατασκευασθείσης, νῦν ἐκ ταύτης οἱ χαροῦς κα-
„ νόνες καὶ νόμοι τῆς Ἱστορικῆς πιθανότητος διαμορφωθήσονται.

## ΤΚ΄.

### Οἱ Κανόνες οὖν καὶ οἱ νόμοι τῆς Ἱστορικῆς πιθανότητος ταῖς προτάσεσι ταυταις σαφέστατα περιέχονται.

Α΄. Πιθανωτέρα ἐστὶν ἡ μαρτυρία τοῦ συνεχοῦς ἀνδρὸς, καὶ κρίσιν πέπειρον ἔχοντος, ἤπερ τοῦ ἁπλοῦ καὶ ἀγροίκου, ὁπηνίκα πράγματα διηγῶνται, προσοχήν τινα ἀπαιτοῦντα καὶ κρίσιν.

„ Ο῞τε παρ. χάρ. γίγνεται περὶ τῶν τῆς φύσεως φαινομένων, ἢ ἰδία τις καὶ παράδοξος
„ ἀνδρὸς πεπαιδευμένου δόξα ἀπομνημονεύεται, τότε δὴ ἀσφαλέστερον τῷ Κάτω πιστώ-
„ σεις, οὗτινος ἡ ἀξιότης καὶ ἀκρίβεια τῆς Κρίσεως ἐγνωσμένοι, ἤπερ τῷ Τιτίῳ πολυ-
„ σάρκῳ

,, σάρκα ὄντι ῥινός, καὶ ἁπλῶς ἐς τὰ μάλιστα, καὶ διὰ ταῦτα προσοχῇ τῇ ὀφειλομένῃ τὰ
,, ἐν τοῖς φυσικοῖς φαινόμενα, καὶ τὴν ἀνδρὸς σοφοῦ τινος δόξαν οὐδαμῶς ἐννοῆσαι πι-
,, στευόμενα.

Β'. Ὅτε δὲ τὰ περὶ ὧν ἡ διήγησις μόνην τὴν τῶν αἰσθήσεων καὶ οὐ πλείστην τὴν προσοχὴν ἀπαιτεῖ, ἡ τοῦ ἰδιώτου καὶ ἀγροίκου μαρτυρία τῆς αὐτῆς ἀξιοῦται πίστεως, τῇ τοῦ σοφοῦ καὶ ἐχέφρονος· μάλιστα δ' ἐνίοτε μείζονος εἴπερ ἀμέλει ταῖς διαθέσεσιν ὑποψία παρῇ, καὶ τῶν ἑαυτοῦ μερῶν ὁ σοφὸς σπουδὴν καταβάλλεται.

,, Παρ. χάρ. Ὅτε ὁ ἰδιώτης καὶ ἀπλοῦς διηγεῖται τὸν Τίτιον κονδύλοις ἐνερίψαι τοῦ Καΐου,
,, τότε δὲ ἡ τούτου μαρτυρία τῶν ἄλλων ἴσων ὄντων τὴν αὐτὴν ἔσχηκε καθὸ, ἥνπερ
,, καὶ ἡ τοῦ Σεμπρονίου ἀνδρὸς τοῦ πεπαιδευμένου διήγησις. Μάλιστα δ' ἔτι τοῦ πεπαιδευ-
,, μένου καὶ συνεχοῦς ἀνδρὸς τὰς συνεπείας τῆς διηγήσεως ἐπιγινώσκοντος, καὶ τὴν ἀλήθειαν
,, ὡς τὰ πολλὰ κρύπτοντος, ἐν πολλαῖς περιστάσεσι τῷ ἁπλῷ καὶ ἰδιώτῃ τὰς τοῦ γενο-
,, μένου ἀγνοοῦντι συνεπείας, καὶ ἑπομένως τὸ γενόμενον πιστῶς διηγουμένῳ πιστεύομεν ἀ-
,, σφαλέστερον.

Γ'. Ὅτι δὲ τῷ μάρτυρι, ὅνπερ τῇ τῶν μερῶν αὐτοῦ σπουδῇ ἐνασχολεῖσθαι, ἔκ τινων περιστάσεων συνάγομεν, μικρὰν πίστιν ἔχειν ὀφείλομεν, ἐκδιδάσκει ὁ λόγος, ὁπηνίκα ἀντικειμένως τῷ λόγῳ μείζων ἀπονέμεται τῆς διηγήσεως περιστάσεων συμπέρασμα.

,, Ἐθέλοντί σοι εἰδέναι, ὅπερ ὁ μάρτυς τῇ τῶν ἑαυτοῦ μερῶν σπουδῇ ἐνασχολούμενος καὶ
,, ἀγάπῃ, ἢ μίσει φερόμενος ἀπεργάζεταί τι. Προσεκτέον ἐπὶ πολλὰς περιστάσεις τὴν
,, πατρίδα ἀμέλει, τὴν θρησκείαν, τὴν αἵρεσιν, τὴν οἰκίαν κτλ.
,, Ἐὰν παρ. χάρ. ἐκ τῶν ἐφημερίδων, ἢ χρονικῶν τῶν παρά τινος τοῦ Γαλλικοῦ ἔθνους ὄν-
,, τος συγγεγραμμένων κατανοῇς τοὺς Γερμανοὺς διωχθῆναι ὑπὸ τῶν Γάλλων, καὶ τὸ
,, τρόπαιον τοὺς Γάλλους λαβεῖν, ἀπατηλὴ ἡ τοῦ συγγραφέως πίστις ἐστίν. Ἐντεῦθεν
,, ὡσαύτως γινώσκεις, εἰ πιστευτέα ὦσιν ὅσαπερ οἱ Παπισταὶ καθαπτόμενοι τοῦ Λουθήρου
,, περί τε τῆς ἐκείνου γεννήσεως καὶ τελευτῆς διαγγέλλουσι· πλείω ἐν τῇ ἀναπτύξει.

Δ'. Ἡ ἀξιοπιστία τοῦ αὐτόπτου μάρτυρος κρείσσων ἐστὶ τῆς τοῦ ὠτακουστοῦ μαρτυρίας, κἀκείνῳ ἀείποτε ἀσφαλεστέρα ἡ πίστις ὀφείλεται, ἤπερ τῷδε.

,, Ὁ λόγος πρόχειρος, ὅ, τι δήποτε γάρ τις ἐξ ἀκοῆς, ἢ φήμης λάβῃ ὡς τὰ πολλὰ τοῦτο
,, παραπολὺ τῆς ἀληθείας ἀπῴκισται. Ὅτε γὰρ ὁ Καΐος διηγεῖται πρᾶξίν τινα τῷ
,, Τιτίῳ προστιθέναι τι παρ' ἑαυτοῦ τῇ διηγήσει φιλεῖ, καὶ ὁ Τίτιος τοῦτ' αὐτὸ διηγούμενος
,, τῷ Σεμπρωνίῳ παρ' ἑαυτοῦ ὡσαύτως τῇ διηγήσει τὶ ἀναμίγνυσι, καὶ ὁ Σεμπρώνιος

[illegible]

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΕΠΕΑΕΚ ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

„ αὖθις ὁμοίως, ὥςε τὸ γενόμενον μὴ φαίνεσθαι εἶναι τοιοῦτον. ἡ γὰρ φήμη αὐξάνουσα
„ προϊοῦσα, κἀντεῦθεν ὁ ὠτακουςὴς μάρτυς οὐ τῆς αὐτῆς τῷ αὐτόπτῃ ἀξιοῦται πίςεως.

Ε'. Εἰδ' ὅμως ἐνίοτε τινὰ καὶ τῷ ὠτακουςῇ ἀπονέμοιμεν πίςιν, ἐπιεικῶς προσέχειν ὀφείλομεν, εἴπερ ὁ τοιοῦτος μάρτυς συνεχὴς ἐςίν, ἢ ἐκ τοῦ ὄχλου τοῦ βορβορώδους· εἰ μὲν τὸ α'. ἀσφαλέςερον πιςεύσεις, εἰ δὲ τὸ β'. ἐν ὑπονοίᾳ μείζονι ἡ πίςις ἔςαι σοι.

ς'. Ἐν τῇ μαρτυρίᾳ τῇ δι' ὠτακουςοῦ μάρτυρος παριςανομένῃ ἐρευνητέον τὰ μάλιςα τὸν πρῶτον τὸν τὴν διήγησιν ἐξαγγείλαντα, ὅπως τε καὶ ἐκ τίνων σπαργάνων ἡ φήμη ἐπηύξησεν, οὕτω γὰρ ἐπιμελῶς ἀνιχνευομένης τῆς πρώτης κατὰ τὴν Ἱςορίαν ἀρχῆς, εὐχερῶς ἐπιγνώσῃ, τίνα χρὴ τῷ ὠτακουςῇ πίςιν ἀπονέμειν.

Ζ'. Ἡ τῶν συγχρόνων μαρτύρων διήγησις πιθανωτέρα κρίνεται τῆς τῶν πολλῷ χρόνῳ εἰσέπειτα ἐπιγενομένων.

Η'. Εἴπερ τὸ αὐτό, ὅπερ ὁ σύγχρονος μάρτυς διηγεῖται, πλείους τῷ αὐτῷ τρόπῳ καὶ ταῖς αὐταῖς περιςάσεσι διεξέρχονται, οὐκ οἶδ' ὅτι τῇ πιθανότητι τῆς μαρτυρίας ἀπὸ τοῦ συγχρόνου ἐκφερομένης προςίθεσθαι δύναται.

„ Οὗτοί εἰσιν οἱ κράτιςτοι Κανόνες, οὓς χρὴ ἔχειν πρὸ ὀφθαλμῶν, εἴγε μέλλοιμεν μὴ ἐξα-
„ πατᾶσθαι ἐν τῷ πιςεύειν. Καὶ ταῦτα μὲν ὡς ὁρᾷς ἀφορῶσι τὸν μάρτυρα· νῦν δὲ
„ προφυλακάς τινας τοῦ λόγου τοῦ γενομένου, ἤτοι τοῦ περὶ οὗ ἡ διήγησις παρατηρεῖσθαι
„ ὀφειλομένας, συντόμως καταριθμήσομεν.

## ΥΚΑ'.

Α'. Διηγήσεως οὔσης περὶ γενομένου τινός, ἐν ᾧ περιςάσεις ἁπαντῶσιν ἀλλήλαις διαμαχόμεναι, οὐδεμία πάρεςι πιθανότης.

„ Ὁσάκις γὰρ αἱ περιςάσεις τοῦ γενομένου ἀντιφάσκουσι, τοσάκις τὰ ἀδύνατα ἐπιφέρεται.
„ Ἐπεὶ δὲ πᾶν πιθανὸν ὀφείλει εἶναι δυνατὸν (Χς'.)· Κατανοεῖται ἤδη ὅτι ἡ μάχη, ἤτοι
„ ἡ ἀντίφασις τῶν περιςάσεων χώραν ἔχουσα τὴν δυνατότητα οὐχ εὑρίσκεσθαι, ὑπο-
„ μένει οὐδὲ τὴν πιθανότητα.

Ὅτε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Β΄. Ὅτε τις ἀσύνηθές τι ἢ θαυμάσιον γενόμενον διηγεῖται, καὶ εἴπερ ἐςὶ τοῦτο πιθανῶς ἀληθὲς εἰδέναι δι' ἐφέσεως ἔχῃς ἐπὶ τὰ ἑπόμενα πρόσεχε.

Α΄. Ὅτε τὸ θαυμαςὸν πρᾶγμα εἷς καὶ μόνος διεξέρχεται μάρτυς οὐ πολλή τις αὐτῷ πίςις ὀφείλεται· δύναται γὰρ, ὡς τὰ πολλὰ συμβαίνειν ἐξαπατᾶσθαι τῇ φαντασίᾳ.

Β΄. Ὁπηνίκα δὲ τὸ αὐτὸ θαυμάσιον καὶ ἀσύνηθες πλείους τινὲς ἄλλως τε καὶ εὐδόκιμοι διηγῶνται ἄνδρες ταῖς αὐταῖς περιςάσεσιν ἀναφέροντες, καὶ μεθ' ὅρκου βεβαιῶσι, ὡς τὸ γεγενημένον ἰδόντες, πολλῷ πιθανώτερόν ἐςι τῇ ἀληθείᾳ ὑπάρξαι τὸ περὶ οὗ ἡ διήγησις.

## ΤΚΒ΄.

Ὅσον δὲ ἐπὶ τὸν τρόπον τοῦ διηγεῖσθαι ἀνήκει, σημείωσαι ὧνπερ ἱςορικῶς ἡ διήγησις γίνεται, πλείονος ταῦτα ἀξιοῦσθαι πίςεως τῶν ποιητικῶς καὶ ῥητορικῶς φερομένων. Ἐν γὰρ τῇ Ἱςορικῇ διηγήσει ἁπλᾶ πάντα εὑρίσκεται καὶ γυμνὰ κόσμου καὶ ἀλλοτρίας περιβολῆς· τὰ δὲ ποιητικῶς ἢ ῥητορικῶς ἀπομνημονευόμενα πλεῖςον ὅσον ἀποχωροῦντα εὑρήσεις τῆς ἀληθοῦς καὶ κυρίας ἁπλότητος. Καὶ πάντα χρώμασι φιλοτίμως καὶ περιέργως ἐπιζητουμένοις διακοσμούμενα ὄψει. Ὥςε τὴν ἀλήθειαν πολλοῖς χρίσμασι καὶ ἐπιπλάςῳ φύσει κεκαλυμμένην μόλις, ἢ οὐδεπωσοῦν φαίνεσθαι.

## ΤΚΓ΄.

Τὰ μὲν δὴ μέχρι τοῦδε περὶ τῆς Ἱςορικῆς πιθανότητος διαληφθέντα, ἐπὶ τὴν ἀνθρωπίνην μόνην μαρτυρίαν τε καὶ ἀξιοπιςίαν ἀξιοῦμεν ἀνάγεσθαι· τὰ γὰρ τῇ θείᾳ μαρτυρίᾳ ἐμπεδούμενα τοσοῦτον ἐςὶ βεβαιότερα, ὅσον ὁ ἀληθέςατος Θεὸς οὐδαμῶς οἶδε ψεύδεσθαι.

„ Ἐκ τούτων τέλος ξυνορᾷν ἔχεις τὰ γενόμενα μόνον πιςοῦσθαι· τὰ γὰρ καθόλου δόγ-
„ ματα (α) τὴν ἑαυτῶν ἐκ τῶν δείξεων βεβαιότητα ἴσχει. Εἰ δέ τις τοῖς καθόλου δόγ-
„ μασι διὰ τὴν τοῦ ἑτέρου μόνον μαρτυρίαν πιςεύει μικρὰ φροντίζων περὶ τῶν ἐσωτερικῶν
„ λόγων τῶν ἀναγκαζόντων τὴν συγκατάθεσιν, οὗτος ἤδη τῷ τῆς ἀξιοπιςίας προκείμε-
„ τι, περὶ οὗ ἀνωτέρω (ΤΛς΄.), προκατείληπται.

Ἐν-

(α). Καθόλου δόγματα, οἷόν ἐςιν ἡ ψυχὴ ἀθάνατος: οὐ δεῖ τοίνυν ἄλλως ἢ δι' ἀποδείξεως βεβαιοῦσθαι, τοῖς τοιούτοις δόγμασι, καὶ μὴ λέγειν, οὕτως ἔφη ὁ Βόλτιος, ἢ ἄλλος τις σοφός;.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κτ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

„ Ἐντεῦθεν ἔτι δηλοῦται, ὅσον ἁμαρτάνουσιν οἱ ἐν τῇ ἐμπεδώσει ἀληθείας τινὸς, μαρτυ-
„ ρίαις ἔνθεν κἀκεῖθεν ἐπιπονώτερον ζητημέναις εἰς βεβαίωσιν χρώμενοι, πλείω τῇ ἀξιο-
„ πιστίᾳ, πίστιν, ἢ τοῖς ἐπιχειρήμασιν ἀπονέμοντες

## ΥΚΔ'.

Νῦν δὲ ἐπὶ τὴν Ἑρμηνευτικὴν πιθανότητα μεταβαίνομεν· ἡ Ἑρμηνευτικὴ δ' αὕτη πιθανότης χρησιμεύει ἡμῖν ἐν τῷ ἐξηγεῖσθαι, ἤτοι τὴν Ἔννοιαν συγγραφέως τινὸς ἐξάγειν. Συμβαίνει δ' ὡς τὰ πολλὰ τὸν λόγον συγγραφέως τινὸς πολλαπλασίας δέχεσθαι ἐξηγήσεις, ὧνπερ τίς ἐστιν ἡ πιθανωτέρα ἐκ τῶν νόμων τῆς Ἑρμηνευτικῆς πιθανότητος διοριστέον ἐστίν.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΥΚΕ'.

Ἑρμηνευτικὴ πιθανότης ἐστὶν, ὅτι ἀπό τινων τῶν ἐν τῷ συγγράμματι τοῦ συγγραφέως περιστάσεων παρ. χάρ. τῆς τῶν λόγων σημασίας κειμένης τῆς συναφείας, τῆς τοῦ συγγραφέως ἡλικίας, τοῦ τέλους, καὶ τῆς διαθέσεως, τὸν τοῦ συγγραφέως νοῦν συμπεραίνω.

„ Νοῦς τοῦ συγγραφέως ἐστὶν ἡ Ἔννοια αὐτοῦ, ἥνπερ διὰ τῶν λόγων εἰς τὰς ψυχὰς τῶν
„ ἀναγινωσκόντων καὶ ἀκουόντων ὁ συγγραφεὺς, ἢ ὁ λέγων παραγαγεῖν βούλεται. Ὅτε
„ ἐξ ἀρχῶν κανονικῶν περὶ τῆς Ἐννοίας τοῦ συγγραφέως, εἰς ἣν ἐκεῖνος ἀφορᾷ κρίνειν,
„ καὶ περὶ τὴν ἀνίχνευσιν ἐκείνης ἐνασχολοῦμαι, τὸν συγγραφέα Ἑρμηνεύειν λέγομαι, καὶ
„ Ἑρμηνεία ἐστὶν Ἐνέργημα, καθ' ἣν ξυνίεμεν τὸν τοῦ συγγραφέως νοῦν.

## ΥΚϚ'.

Ἵνα μᾶλλον διακεκριμένως εἰδέναι ἔχῃς, ὅπως αὐτοῦ παρακολουθεῖν τεκμαιρόμενος δύνασαι τὰς ἑπομένας προτάσεις σημειῶσαι, ὡς Κανόνας τῆς Ἑρμηνευτικῆς πιθανότητος.



ΕΚΔ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Α'. Ἐπείπερ ὁ τῶν συγγραφέων νοῦς διὰ λόγων σημαίνεται (ΥΚΕ'.) ἑπόμενον ἐστὶ τὸν βουλόμενον συνιέναι τὸν τῶν συγγραφέων νοῦν, τὴν διάλεκτον δι' ἧς περ ὁ συγγραφεὺς τὸν οἰκεῖον ἀνέπτυξε νοῦν ἀκριβῶς γινώσκειν, καὶ τοὺς ἰδιωτισμοὺς τῆς διαλέκτου εἰδέναι σαφῶς, ὅθεν.

Β'. Τῶν Ἑρμηνέων τοὺς ταῖς ἄλλων στροφαῖς, ἤτοι μεταφοραῖς πεποιθότας, ἐν τῷ ἐξάγειν τὴν κατάληψιν τοῦ κατὰ τὸν συγγραφέα νοός, ἁμαρτάνειν καὶ ὀλισθαίνειν ἐπάναγκες, ὡς οὐκ ἐπαΐοντας τῆς φωνῆς, ᾗπερ τῶν συγγραφέων τις κέχρηται.

Γ'. Ἐν τῷ Ἑρμηνεύειν προσεκτέον μάλιστα ἐπὶ τὴν τοῦ συγγραφέως διάθεσιν, τὴν αἵρεσιν, τὸ ἐπάγγελμα, τὴν ἡλικίαν, τὸν σκοπόν, ἔνθεν τοι.

Δ'. Πρεπωδέστατον ἐπὶ τὸ τοῦ ἑρμηνευθησομένου συγγραφέως σύστημα ἐπιμελῶς διακρίνειν ἐκ τῶν οἰκείων αὐτοῦ ἐννοιῶν φυλαττομένης μήποτε ἐκ τῶν ἡμετέρων ἐννοιῶν περὶ τοῦ τῶν συγγραφέων λόγου ἡ κρίσις γίγνοιτο.

„ Ἄριστα οὖν ὁ Κληρικὸς ἐν τῇ Κριτικῇ τέχνῃ μερ. Β'. Κεφ. Β. Παραγ. ζ' καὶ η'. Δεῖ, „ φησὶν, ὥσπερ ἐπιλανθανομένους ἡμᾶς τῶν ἡμετέρων ὑπολήψεων, ζητεῖν τίποτ' οἱ πάλαι διδάσκαλοι ἐνενόουν, οὐχ ὅπερ ἡμῖν δοκεῖ ἐκείνους ἐννοεῖν ὀφείλειν, ἵνα ὦσι σοφοί.

Ε'. Ἐξ οὗ ἔτι κατάδηλον γίνεται, δεῖν ἡμᾶς οὔτε ἀγάπῃ, οὔτε μίσει προσωπικῷ, ἢ προκρίμασί τισι τῆς Ἑρμηνείας κατεχομένους ἐφάπτεσθαι.

ς'. Ἐν τῷ Ἑρμηνεύειν τὰ ἡγούμενα καὶ τὰ ἑπόμενα παραβλητέα ἐπιμελῶς, ἵνα μὴ εἰς δέον τὸ τοῦ συγγραφέως νοῦ παρακολουθεῖν βουλομένῳ σοι, ἐκτὸς τῆς αὐτῶν πλοκῆς οἱ τοῦ συγγραφέως λόγοι ἐννοηθῶσιν.

„ Ὅθεν οὐδὲν θαυμαστὸν τὰ μάλιστα ἀπατᾶσθαι ἐν τῷ ἑρμηνεύειν τοὺς εἰς κατάληψιν τοῦ „ νοὸς συγγραφέως τινος, πολλάκις ῥήματα τοῦ συγγραφέως παρ' ἑτέρου τινὸς τῷ „ συγγραφεῖ, ἴσως ἐχθραίνοντος προφερόμενα, καὶ ἐκτὸς κείμενα τῆς αὐτῶν συμπλοκῆς, „ εἰς ἐπικουρίαν λαμβάνοντας. Γίνεται δὲ τοῦτο ἐν ταῖς ἀμφισβητήσεσι μάλιστα, „ ὅπερ διὰ πολλῶν ἐνώπιον ἀποδείξω.

Ζ'. Οἱ τοῦ Συγγραφέως τόποι, παραβληθήτωσαν παράλληλοι προσεχέστερον, εἴγε μέλλεις εὐτυχῶς ἀνιχνεύειν, τίποτ' ἐστὶν τοῦ Συγγραφέως νοῦς πιθανότερον ἀληθής.

„ Πολ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

„ Πολλάκις γὰρ τὸ ἐνὶ τόπῳ ἀσαφέστερόν πως τοῦ Συγγραφέως εἰρημένον, ἐν ἑτέρῳ σαφέ-
„ στερον προφέρεται, ὥσθ' οὕτω τὰ ἀσαφέστερα ἐκ τῶν σαφεστέρων ἀναπτύσσεσθαι.

Η'. Τῇ γραμματικῇ καὶ κυρίᾳ σημασίᾳ τῶν λέξεων ἐπὶ τοσοῦτον προσφύεσθαι χρὴ, ἐφ' ὅσον ἡ γραμματικὴ κυρία σημασία ταῖς περιστάσεσι ταῖς κατὰ λόγον οἰκειότερον ἀνήκει, ἤπερ ἄλλη τις καταχρηστική.

Θ'. Η' ἐπιεικεστέρα καὶ ὑγιεστέρα ἑρμηνεία προκριτέα τῆς ἀπεχθοῦς, μήτ' εὐχερῶς προληπτέον ἀντιφάσκειν τινὰ ἑαυτῷ, ὅπερ ἡ ἐν τῷ ἑρμηνεύειν ἀπαιτεῖ ἐπιείκεια.

„ Οὐ σχολή μοι πλείους Κανόνας ἐπαγαγεῖν· Ιδιαίτερον καὶ γὰρ περὶ τῆς τοῦ ἑρμηνεύειν
„ τέχνης ἐν συνόψεσιν ἤδη ἐκτίθεται μάθησι. Ταύτας δὲ τὰς θέσεις παραδείγ-
„ μασι θεολογικοῖς τε καὶ φιλοσοφικοῖς δαψιλέστερον σαφηνίσαι ἐμέλλον.

## ΥΚΖ'.

Νῦν ἤδη μεταβαίνομεν ἐπὶ τὴν φυσικὴν πιθανότητα, ἥτις ἐστιν ὁπηνίκα ἐκ πολλῶν φαινομένων, εἴτ' οὖν αἰσθάνσεων συνάγομεν αἰτίαν τινὰ φυσικὴν, καὶ τρόπον καθ' ὃν παράγεται τὸ ἀποτέλεσμα. Ο῎ρα Ρ'ουδιγέρον περὶ αἰσθήσεως ἀληθοῦς, καὶ ψευδοῦς βιβλ. Γ'. κεφ Ε'.

„ Οὕτω παρ. χάρ. πιθανόν ἐστι τὸν τῆς θαλάσσης ῥοῦν καὶ ἀναῤῥοῦν ἀπὸ τῆς θλί-
„ ψεως τῆς Σελήνης ἐξαρτῆσθαι, ὅτι πολλὰ φαινόμενα πάρεστι τὰ πείθοντα τὴν τῆς
„ Σελήνης θλίψιν ὡς αἰτίαν τιθέναι τοῦ κατὰ τὴν θάλασσαν ῥόος καὶ ἀνάῤῥοος. Ο῎ρα
„ Α'μβεριέργε Φυσικὴν §. ΨΜΖ. καὶ ἑπόμενον ἡ πιθανότης αὕτη ἐστὶ Φυσική.

## ΥΚΗ'.

Περὶ τὴν Φυσικὴν τοιγαροῦν πιθανότητα τὰς ἑπομένας προφυλακὰς σημειώσασθαι ἀξιῶ.

Α'. Εἴπερ αἰτίαν τινὰ πιθανὴν Φυσικὴν ἐξαγαγεῖν βούλοιο, ἀπαιτεῖται τὸ φαινόμενον δεδοκιμασμένον λαμβάνεσθαι, καὶ τὴν αὐτοῦ ἔννοιαν σαφῆ γοῦν διαμορφοῦσθαι. Ε'νταῦθα τοίνυν σημειοῦσθαι ἐπάναγκες τὰς περὶ τὴν πεί-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ι.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ραν ἀνωτέρω (ΤΝΔ΄. καὶ ἑπόμενον) παραδοθέντας Κανόνας, οὕς τινας δὲ ἐπὶ τῇ τῶν πειρῶν παρατηρήσει, μὴ ἔχων πρὸ ὀφθαλμῶν εὐχερῶς ἔκγονον τῆς φαντασίας, καὶ ἑπομένως χίμαιραν ἀντὶ τοῦ ἀληθοῦς φαινομένου ἕξει.

Β΄. Ὁμοία προφυλακὴ προσληπτέα, ἐπὶ τῶν φαινομένων τῶν ἀπὸ τῆς καταλέξεως ἑτέρων τινῶν λαμβανομένων. Ἔνθεντοι προσληπτέοι εἰς ἐπικουρίαν οἱ περὶ τῆς Ἱστορικῆς πιθανότητος (ΥΚ΄.) παραδοθέντες Κανόνες.

Γ΄. Εἴπερ ὦσι τὰ φαινόμενα ἀκριβῶς δεδοκιμασμένα πᾶσαι αἱ δυναταὶ τοῦ φαινομένου αἰτίαι ἀνιχνευτέαι εἰσί.

Δ΄. Ἐξ ἁπάντων τῶν δυνατῶν αἰτίων παραληπτέα· τὰ ταῖς λοιπαῖς περιστάσεσιν ἀνήκοντα οἰκειότατα.

## ΥΚΘ΄.

Τόγε ἐπὶ τὴν πολιτικὴν πιθανότητα τὴν ἤδη ἐκτεθησομένην ἀνῆκον, εἰδέναι χρὴ ὡς συνίσταται αὕτη, ὁπηνίκα ἐκ πολλῶν τινῶν φαινομένων ἐν προσώπῳ τινὸς, τὰ τῶν τρόπων ἤδη συνάγομεν.

„ *Παρ. χάρ.* Ὁπηνίκα ἐν τῷ Καΐῳ τὴν τοῦ σώματος στάσιν, εἰς ἀλαζονείαν τεταγμένην
„ σεμνὸν βάδισμα, ἱπποβάμονα ῥήματα (ὑπερηφάνους λόγους) σπουδὴν τε περὶ τὸ
„ κόσμιον, καὶ λοιπὰ τοιαῦτα παρατηρῶ, ἐκ τῶν τοιούτων δὴ περιστάσεων πιθανῶς
„ συνάγω, τὸν Κάϊον εἶναι φιλόδοξον, ἤτοι τὸν Κάϊον κατὰ τὸν ἐχόμενον κανόνα
„ ἐνεργεῖν.
„ Πᾶν ὅ, τι ἂν μοι περιποιεῖται τιμὴν, τοῦτο παρ' ἐμοὶ ἀγαθὸν, καὶ τούτου ἐπιποθοῦμαι.
„ ὡσαύτως ὁπηνίκα ἐν τῷ *Δημητρίῳ* παρατηρεῖς Ἱλαρότητα τοῦ προσώπου, σπουδὴν περὶ τὸ ἡδὺ, ἀποστασίαν, ἀσωτίαν, εἰς τὴν ἀργίαν ἐπιῤῥοπὴν, καὶ τοῦ πόνου φυγὴν, ἐκ
„ τούτων ἤδη τῶν αἰσθάνσεων, ἤτοι φαινομένων πιθανῶς συνάγεις τὸν *Δημήτριον* εἶναι
„ φιλήδονον, ἤτοι αἱματώδη καὶ κατὰ τουτονὶ ἐνεργεῖν τὸν κανόνα.
„ Πᾶν ὅ, τι μοι καθ' ἡδονὴν ἐστὶ καὶ θέλγει τὰς αἰσθήσεις, τοῦτό μοι ἐστὶν ἀγαθὸν, καὶ
„ τουτὶ ἀποδέχομαι. *Περὶ ταύτης τῆς πολιτικῆς πιθανότητος, καθ' ἣν ἐκ τῶν σημείων*
„ τῶν ἐπιῤῥοπῶν τε καὶ κλίσεων τὰς τῆς ψυχῆς ῥοπάς τε καὶ κλίσεις συνάγομεν ἀδικώτερον μεθ' ἐφαρμογῆς ἐν τῇ *Χαρακτηριστικῇ* καὶ Ἠθικῇ ἡ διάληψις γίνεται.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ψ.Μ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΥΛ΄.

Πιθανότητα τελευταῖον πρακτικὴν ὁ Ῥυδιγέρος περὶ αἰσθήσεως ἀληθοῦς καὶ ψευδοῦς βιβλ. Γ΄. κεφ. ϛ΄. ἐκείνην ἀποκαλεῖ, καθ᾽ ἣν ἐξ ἀρχῶν Φυσικῶν ἢ Ἠθικῶν γενησόμενόν τι προλέγομεν.

„ Ὅτε ἀρχηγοῦ τινος θεράπων τῇ χρήσει καὶ πείρᾳ τῶν πραγμάτων πειθόμενος, πιθανῶς προλέγει ταύτην ἢ ἐκείνην τὴν πολιτείαν, ἤτοι διαγωγὴν πόλεως καταπεσεῖν ὡρισμένας πάντας τινὰς ἐν τῇ πολιτείᾳ. ἣν καταφάσκει ἀνατραπήσεσθαι περιστάσεις παρατηρεῖ μεμνημένος τουτωνὶ καὶ ἐν ἄλλοις τισὶ τῶν πολιτειῶν ὀλεθρίων πεῖραν λαβούσαις ἀνατροπῶν, καὶ ἑπομένως ἐκ τῆς τῶν ὁμοίων περιστάσεων παραβολῆς, ὁμοίως ἐκδέχεται τὰς ἐκβάσεις καὶ τουτὶ πιθανῶς.

„ Αὕτη δὲ ἡ τῶν ὁμοίων ἐκβάσεων ἀπεκδοχὴ ἐν τῇ πρακτικῇ πιθανότητι, παρὰ τοῖς πολιτικοῖς συμβάλλει τὰ μάλιστα. Ὅπερ πλατύτερον ἤδη ἀποδεδειχὼς ἐν τῇ ἰδίᾳ διαλέξει περὶ προσδοκίας τῶν ὁμοίων συμβαμάτων ἐν τῇ Ἠθικῇ ὡς τὰ πολλὰ ἀπαντώσης. Ἔνθα καὶ προφυλακάς τινας προπαρέδωκα ἐν τῇ προσδοκίᾳ τῶν ὁμοίων συμβασμάτων, καὶ ἑπομένως τῇ πιθανότητι τῇ πρακτικῇ παρατηρητέας.

„ Ἐντεῦθεν καὶ τὸ ἀπὸ τῆς ἀναλογίας λαμβανόμενον ἐπιχείρημα ἀνήκει ἐπὶ τὰ ἐπιχειρήματα ἀξιούμενον ἀναφέρεσθαι. Ἐπιχειροῦμεν δ᾽ ἐν τούτῳ ἀπὸ τοῦ ὁμοίου ἐπὶ τὸ ὅμοιον, ὅτι τῶν ὁμοίων ὁ λόγος ὅμοιος. Τὸ ἐπιχείρημα τουτὶ προσλαμβάνουσί τινες τὰ ἄλογα ζῶα, ψυχὰς καὶ ταῦτα λογικὰς ἔχειν ἐμπεδοῦν ἀξιοῦντες. Ὡσαύτως καὶ τὴν ψυχὴν μετὰ θάνατον ἐν στάσει τῶν διακεκριμένων Ἰδεῶν περιστρέφεσθαι βεβαιοῦντες περὶ οὗ ἐνώπιον.

„ Τὰ περί τε τῆς δημώδους πιθανότητος, καὶ τῆς κατ᾽ ἄνθρωπον πιθανότητος ὡς ὁ Ῥυδιγέρος καλεῖ, καὶ τῆς Ἰατρικῆς πιθανότητος λεχθῆναι ἔτι δυνάμενα ἐν ταῖς ἀναγνώσεσιν ἐπάξομεν πρεπούσῃ πίστει καὶ σαφηνείᾳ.

## ΥΛΑ΄.

Τῇ πιθανότητι συνῆπται ἡ δόξα, ἥτις ἐστὶ πρότασις μὴ ἀποχρώντως ἐμπεδωμένη, οὐκ ἀποχρώντως δὲ ἡ πρότασις ἐμπεδοῦται ἐξ ἀρχῶν οὔπω βεβαίων παραγομένη.

„ Παρ. χάρ. Ἡ πρότασις αὕτη, δίδονται σεληνῖται, ἐστὶ δόξα. οὔπω γὰρ ἀρχαῖς βεβαίαις ἐρειδομένη οὐχ ἑτέρως ὁρᾶται, μὴ ἀποχρώντως ἐμπεδωμένη, καὶ ἑπομένως εἰς τὸν ἀριθμὸν τῶν δοξῶν ἀναφέρεσθαι δικαία ἐστί.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΤΛΒ΄.

Ἐντεῦθεν συνάγεται δυνατὸν τὴν μὲν εἶναι δόξαν πιθανὴν, τὴν δὲ ἀπίθανον.

Δείκν. Ἐπεὶ γὰρ ἡ δόξα πρότασίς ἐστιν οὐκ ἀποχρώντως ἐμπεδωμένη καὶ ἀρχαῖς ἀβεβαίοις ἐρειδομένη (ΤΛΑ΄.) οὐ πάντα δὲ τὰ ἀβέβαιά ἐστι πιθανὰ, ἀλλὰ τινὰ τούτων ταῖς λεγομέναις Κούφαις, αἵτινες λόγου παντὸς ἀπολείπονται, ἢ χωρὶς ἐμπεδώσεως λαμβάνονται, εὐχερῶς ἤδη κατανοεῖς, οὐ πᾶσαν δόξαν πιθανὴν εἶναι, ἀλλὰ καὶ ἀπίθανον δόξαν δίδοσθαι, ὥστε τὴν δόξαν ὀρθῶς διαιρεῖσθαι εἰς πιθανὴν καὶ ἀπίθανον.

## ΤΛΓ΄.

Πᾶσα δόξα ἐστὶ μεταβλητή.

Δείκν. Ἐπεὶ γὰρ ἡ δόξα πρότασίς ἐστιν ἐμπεδώσει μὴ ἀποχρώσῃ, καὶ ἀβεβαίοις ἐρειδομένη ἀρχαῖς (ΤΛΑ΄.) ἐνδέχεταί τινα τὴν μὴ ἀποχρῶσαν ἐμπέδωσιν, ᾗπερ ἡ δόξα ἐρείδεται, καθορῶντα καὶ τὸ ψεῦδος γινώσκοντα, μὴ ἔτι ταύτῃ συγκατατίθεσθαι· ἐξ οὗπερ ἤδη κατανοεῖς τὰς δόξας εἶναι μεταβλητάς.

## ΤΛΔ΄.

Ἐντεῦθεν ἤδη δηλοῦται τὰς πιθανὰς δόξας δύνασθαι πολλάκις εἶναι ψευδεῖς.

Δείκν. Ἀληθοῦς γὰρ ὄντος τοῦ δύνασθαι εἶναι ψευδῆ τὴν πιθανὴν πρότασιν (ΤΖ΄.) ὀρθῶς καταφάσκεται τὰς πιθανὰς δόξας δύνασθαι εἶναι ψευδεῖς.

ΚΕ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.ε. ΙΩΑΝΝΙΝΑ 2006

# ΚΕΦΑΛΑΙΟΝ Ε.

## Περὶ τοῦ ὀρθῶς τῇ Μελέτῃ ἐγχειρεῖν, ϗ δι' αὐτῆς τὴν ἀλήθειαν ἀνιχνεύειν.

### ΠΑΡΑΓΡΑΦΟΝ ΤΛΕ.

Διείληπται μέχρι τῆδε περὶ ἀληθείας βεβαίας καὶ πιθανῆς, νῦν δὲ εἰδικώτερον ἀποδεικτέον ἡμῖν ὅπως τὰς ἡμετέρας τοῦ νοὸς ἐνεργείας διευθύνειν ὀφείλομεν εἰς εὐχερεστέραν εὕρεσιν τῶν ἀληθειῶν καὶ τῆς συναφείας αὐτῶν διακεκριμένην ἐπίγνωσιν. Ταὐτὸν δ' εἰπεῖν ὅπως ὀφείλομεν μελετᾷν· μελετᾷν γὰρ λεγόμεθα ὁπηνίκα τὰ ἡμῶν νοήματα τοῖς νόμοις τῆς ὀρθῆς μεθόδου ἀνηκόντως ἐφαρμόττωμεν καὶ οὕτω διευθύνωμεν, ὥστε ἀληθείας ἐξ ἀληθειῶν, ἐννοίας ἀμέλει ἐξ ἐννοιῶν, προτάσεις ἐκ προτάσεων ἐξάγειν, καὶ Μελέτην λέγομεν τὴν τῶν ἡμετέρων νοημάτων ἐφαρμογὴν εἰς τὴν τῆς ἀληθείας εὕρεσιν ἀνηκόντως τοῖς νόμοις τῆς ὀρθῆς μεθόδου

### ΤΛϚ.

Ἐκ τῶν ἐννοιῶν, ἅσπερ τῇ χρήσει τοῦ λέγειν ἐμπεδοῦσθαι ἐνώπιον ἀποδείξομεν, αἱ προτάσεις αὐταὶ παράγονται ὡς πορίσματα.

Α'. Τὴν ὀρθὴν μέθοδον, καὶ τὴν μελέτην αὐτὴν τοῖς νόμοις τῆς ὀρθῆς μεθόδου προσηρμοσμένην, πλεῖστον διαφέρειν. Διαφέρει, φησίν, ὁ περιφανὴς Σύρβιος, ἡ μελέτη τῆς Μεθόδου, ὡς ἡ ὁδοιπορία τῆς ὁδοῦ. Ὅρα Φιλοσοφ. Λογ. σελ. 155.

Β'. Ἐντεῦθεν κατανοεῖν ἔξεστι πάντα τὸν ὀρθῶς μελετᾷν ἱέμενον, τοῦτο ποιεῖν ὀφείλων, τὸ τὰ διανοήματα αὐτοῦ τοῖς τῇ ὀρθῇ μεθόδῳ ἀπαιτουμέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μένοις, ἅπερ ἀνωτέρω (ΛΓ΄. καὶ ἑπομένῳ) κατηριθμήσαμεν ἀνηκόντως ῥυθμίζειν, καὶ τοσοῦτον εὐχερέστερον ἕκαστον μελετᾶν, ὅσον ἐντελέστερον τοῖς ἐντάλμασι τῆς ὀρθῆς μεθόδου παρακολουθεῖ.

Γ΄. Συνάγεται ἐκ τούτων, τοὺς ὀρθῶς καὶ εὐτυχῶς μελετᾶν ἐθέλοντας πλείστας ὀφείλειν ἔχειν ἀληθείας διεγνωσμένας. Πῶς γὰρ ἂν ἀληθείας ἐξ ἀληθειῶν, καὶ προτάσεις ἐκ προτάσεως ἐξαγάγοις μὴ πρότερον ἀληθείας καὶ προτάσεις ἐπεγνωκώς. Ὥσθ' οὕτως ἐντεῦθεν κατανοεῖν σε, ἀνθ' ὅτου οἱ πρωτόπειροι, καὶ οἱ τῶν ἀληθειῶν, καὶ τῆς ὀρθῆς μεθόδου ἀνεπιστήμονες οὔπω εἰς τὸ μελετᾶν εἰσὶν ἐπιτήδειοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΥΛΖ΄.

### Ὁ εὐτυχῶς μελετᾶν ἐθέλων προσοχὴν πρὸ πάντων ἐπιφερέτω, καὶ νοῦν τῶν προκριμάτων ἐλεύθερον.

Δείκν. Ἐπεὶ γὰρ ὁ εὐτυχῶς μελετᾶν ἐφιέμενος ἐξ ἀληθειῶν ἀληθείας σπουδάσει ἐξαγαγεῖν (ΥΛΕ΄) ἀληθείας δ' ἐξ ἀληθειῶν ἐξάγειν οὐ δύνασαι τὴν τῶν ἀληθειῶν συνάφειαν μὴ ἐγνωκώς. Ἑπόμενόν ἐστι, τὸν εὐτυχῶς μελετήσοντα, τὰς ἀληθείας, ᾗ εἰσὶ πρὸς ἀλλήλας συνημμένας θεωρεῖν. Ὁ δὲ τὰς ἀληθείας κατὰ τὴν αὐτῶν συνάφειαν γινώσκειν γλιχόμενος θατέραν τῆς ἑτέρας διακρίνειν ὀφείλει, καὶ τὰ ἐν μέρει ὁποιασοῦν ἀληθείας καθ' ἕκαστα ἑαυτῷ παριστᾶν, καὶ ἑπομένως ὁ εὐτυχῶς ἀξιῶν μελετᾶν ὀφείλει τὰς ἀληθείας ἑαυτῷ παριστᾶν (ΟΕ.) Ἐπεὶ δὲ ἡ διακεκριμένη παράστασις διὰ προσοχῆς πορίζεται (ΟΘ΄.) Ἕπεται τὸν ἐν τῷ μελετᾶν εὐτυχῶς προβαίνειν ἐθέλοντα συνεπιφέρειν τὴν προσήκουσαν προσοχήν. Τὰ προκρίματα εἰσὶ κρίσεις πλάνοι (ΤΛΓ΄.) καὶ ἑπομένως ἐκ συγκεχυμένων παραστάσεων ἐγείρονται (ΤΛΑ΄.) Ἐπεὶ δὲ αἱ συγκεχυμέναι παραστάσεις ταράττουσι τὴν προσοχὴν (κατὰ τὰς ἀρχὰς τῆς ψυχολογ:) ἡ δὲ προσοχὴ ἐν τῷ μελετᾶν. Τὰ μάλιστα ἀπαιτ΄ται (κατὰ τὰ ἀποδοθέντα) πρόδηλον, ὅτι εἰς τὸ μελετᾶν ἀπαιτεῖται νοῦς προκριμάτων ἐλεύθερος.

Κ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΥΛΗ'.

Ὁ μελετᾷν ἐθέλων ὀφείλει πρὸ πάντων λόγον ποιεῖσθαι τῶν ἀρχῶν, αἷς τισι τὰς λοιπὰς ἀληθείας ἐπιστηρίζει.

Δείκν. Ἐπεὶ γὰρ ὁ μελετήσων τὰ ἑαυτοῦ διανοήματα κατὰ τοὺς κανόνας τῆς ὀρθῆς μεθόδου ῥυθμίζειν ὀφείλει (ΥΛΕ'.), ἐν δὲ τοῖς κανόσι τῆς ὀρθῆς μεθόδου τὸν ἄριστον ἐπέχει τόπον ὁ διδάσκων τὰς θέσεις πάσας, καὶ τὰ διανοήματα πάντα ἐξ ἀρχῶν μόνων βεβαίων ὀφείλειν παράγεσθαι. (ΛΓΒ'.) Κατανοεῖται ἤδη τὸν μελετᾷν ἐθέλοντα ὀφείλειν πρὸ πάντων λόγον ποιεῖσθαι τῶν ἀρχῶν, αἷς τισι τὰς λοιπὰς ἀληθείας ἐπιστηρίζει.

## ΥΛΘ'.

Ἐκ τούτου ἐμπεδοῦται τῇ μελέτῃ ἐξαιρέτως ἀπαιτεῖσθαι τὸ ἀκριβῶς ὁρίζεσθαι, τὸ περὶ οὗ μελετῶμεν, καὶ τοὺς ὅρους ἑκάστους ὀρθῶς διορίζεσθαι.

Δείκν. Ἐπεὶ γὰρ ὁ μελετήσων περὶ ἀρχῆς τινός, ἐξ ἧς περ ἄρχεται τῇ αὐτοῦ μελέτῃ ὀφείλει μέριμναν καταβάλλειν (ΥΛΗ'.) Ἐπὶ δὲ τὰς ἀρχὰς τῶν ἀληθειῶν ἀνάγονται καὶ ὁρισμοὶ (ΡΚΘ'. καὶ ΤΠΘ'.) Εὔδηλον, ὅτι τὰ μάλιστα εἰς τὴν ἀλήθειαν ἀπαιτεῖται τὸ ἀκριβῶς εἰδοποιεῖσθαι τοὺς ὁρισμοὺς τῶν περὶ ἃ μελετᾷν ἀξιοῦμεν. Ἐξ οὗπερ ἅμα καταφανὲς ἕκαστον τῶν ὅρων τῶν ἐν τῇ μελετωμένῃ ὕλῃ προσφερομένων ὀρθῶς δεῖν διορίζεσθαι. Μάλιστα τῆς ὀρθῆς μεθόδου κανόνων τοῦτ' ἀπαιτούντων (ΛΓ'.)

## ΥΜ'.

Εἰ δὲ τοῦ πράγματος, ὅπερ μελετᾷς ἀκριβῆ ὁρισμὸν ἐθέλεις διαμορφοῦν, τὴν πεῖραν καὶ πολλὰ συμβάσματα εἰς ἐπικουρίαν προσλάμβανε, ἐξ ὧν περ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῆς παραβολῆς, οἱ ὁρισμοὶ κατὰ τοὺς ἐν τῷ (ΤΟΖ΄.) παραδοθέντας κανόνας διαμορφῶνται.

## ΥΜΑ΄.

Ὀρθῶς γενομένε τῆ ὁρισμῆ τῆ ὅπερ μελετᾷς πράγματος ἕκαςα τὰ γνωρίσματα, τὰ ἐν τῷ ὁρισμῷ ἀπαντῶντα αὖθις ὁρίζε, καὶ ἥτως ἐξ ἑτέρων ὁρισμῶν τῶν μερικῶν γνωρισμάτων ἀνακύψεσι διαιρέσεις. (ΡΙΓ΄. σχολ.) ὧν περ τὴν ἀλήθειαν καὶ ὀρθότητα ἐκ τῶν ἀνωτέρω (ΡΙΔ΄.) παραδοθέντων κανόνων διακρινεῖς.

## ΥΜΒ΄.

Τὰς ὁρισμὰς οἰκείως τοῖς ἀνωτέρω (ΡΜΗ΄.) ἐκτεθεῖσι κανόσι διαμορφώσας, εὐχερῶς ἐκ τῆ ἀποδοθέντος ὁρισμῆ ἑτέρας θέσεις ἐξάξεις. Ταύτας δὲ τὰς ἐξ ἑνὸς ὁρισμῆ ἀμέσως παραγομένας προτάσεις ἀξιώματα λέγομεν (ΣΚΒ΄.) Τὰ δὲ ἀξιώματα ταῦτα τὰ μάλιςα χρησιμεύει, ὁπηνίκα δι᾽ ὀρθῶν νοημάτων ἑτέρας ἀληθείας εὑρίσκειν ὀφείλεται.

## ΥΜΓ΄.

Ὁσάκις ἀξιώματα ἀμέσως παραγαγεῖν ἐκ τῶν ὁρισμῶν βέλει.

Α΄. Τὸ μέρος τῆ ὁρισμῆ, τὸ γένος δηλ. ἢ τὴν εἰδοποιὸν διαφορὰν παράλιπε καὶ ἀνακύψεσι προτάσεις ἀξιωματικαί.

„ *Παρ. χάρ.* Λάβε μοι τὸν τῆ νόμε ὁρισμὸν, ὁ νόμος ἐςὶ ψήφισμα τῆ ἀνωτέρε ἐπιδέον
„ τὸν κατώτερον. Παράλιπε ἦν τὸ γένος κ᾽ ἀνακύψεσιν αἱ ἀξιωματικαὶ αὗται προ-
„ τάσεις ἀμέσως ἐν τῷ ὁρισμῷ τῆ νόμε περιεχόμεναι. α. Ὁ νόμος ὑποτίθησι τὸν
„ ἀνώτερον. β. Ὁ νόμος ἐπιδεσμεύει. γ. Ὁ νόμος δίδοται ἀπὸ τῆ ἀνωτέρε τῷ κατωτέ-
„ ρῳ. Παράλιπε τὴν διαφορὰν, κ᾽ προκύψεται ἡ θέσις αὕτη, ὁ νόμος ἐςὶ ψήφισμα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΔΟΣΙΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Β'. Α'ξίωμα ἐξάγεται, εἴπερ τὸν ὁρισμὸν ἀντιςρέψειας, ὥςε τὸ κατηγορέμενον χώραν ὑποκειμένε, καὶ τὸ ὑποκείμενον χώραν κατηγορεμένε ἐπέχειν.

„ Παρ. χάρ. Ὅ, τι ποτὲ ἐςὶ ψήφισμα τῦ ἀνωτέρω ἐπιδέον τὸν κατώτερον νόμος ἐςίν.
„ Ἔνθαπερ σχῆς ψήφισμα τῦ ἀνωτέρυ, ᾧτινι ἐπιδεσμώεται ὁ κατώτερος, ἐκῦ ἔξης
„ τὸν νόμον.

Γ'. Α'ξιώματα ἀναφαίνονται, εἴπερ τὺς καταφατικὺς ὁρισμὺς εἰς ἀποφατικὰς ἰσοδυναμύσας προτάσεις ἀντιςρέψειας.

„ Παρ. χάρ. α. Ἔνθαπερ ὐ πάρεςι ψήφισμα τῦ ἀνωτέρυ, ὐδὲ νόμος πάρεςι. β'. Ἔνθα-
„ περ ὐκ ἔςιν ἀνώτερος ὐδένα τόπον ὁ νόμος ἔσχηκεν. γ'. Ὅπυ ὐδὲις νόμος, ἐκῦ ὐδεμία
„ ἐπιδέσμωσις. δ' Ὁ μὴ δυνάμενος ἐπιδέειν ἕτερον, ὐδὲ δύναμιν ἔσχηκε νόμυς ἐπε-
„ νεγκῦν. Πολλῷ πλείω ἀξιώματα ἀφ' ἑαυτῶν προσενεχθήσονται, ἄγε τὴν προσήκυ-
„ σαν προσοχὴν ἔχῃς, ϗ τὴν τῆς μελέτης ὀξύτητα, ὡς οἷόν τε ἐπιτείνῃς.

## ΥΜΔ'.

Τῷ αὐτῷ σχεδὸν τρόπῳ ἀφ' ἑνὸς ὁρισμῦ ἐξάγεται καὶ αἰτήματα, ἅπερ εἰσὶ προτάσεις πρακτικαὶ, ἐκ μιᾶς προτάσεως ἐννούμεναι (ΣΚΓ'.) τυτέςι προτάσεις ἐκτιθεῖσαι τὸν τρόπον, καθ' ὃν γίνεσθαί τι ὀφείλει, ἢ δύναται· (ΣΚ'.) Τὰ δὲ αἰτήματα οἰκειότατα παράγεται ἐκ τῶν γενητικῶν ὁρισμῶν, περὶ ὧν ὅρα (ΡΟΕ'.)

„ Λάβε μοι παρ. χάρ. Τὸν γενετικὸν ὁρισμὸν τῦ οἴκτυ, οἶκτός ἐςιν ἄχθος δεινὸν ἐκ τῆς
„ τῦ ἑτέρυ ἀτυχίας γενόμενον. Ἐντεῦθεν ἐξέρχεται τυτὶ τὸ αἴτημα. Ὁ τὸν ἕτερον
„ εἰς ἔλεος πρὸς ἑαυτὸν ἐγεῖραι βυλόμενος, ὀφείλει τῷ ἑτέρῳ τὴν αὐτῦ ἀτυχίαν δηλο-
„ ποιῆσαι ϗ ἀθλιότητα.

## ΥΜΕ'.

Τοιαῦτα δὴ ἀξιώματα καὶ αἰτήματα ἀφ' ἑνὸς ὁρισμῦ ἐξάγωσι δι' ἀμέσων συνεπειῶν (περὶ ὧν ὅρα ΤΙΒ'.) Ἐκ τῶν προτάσεων τύτων ἑτέρας προτάσεις ἐπάξεις, καὶ γενήσονταί σοι πορίσματα (ΣΚς'.)



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δημ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ Εἴπερ ἐκ τῦ ὁρισμῦ τῦ νόμυ παρ χάρ. τόδε τὸ ἀξίωμα διεμόρφωσας (ΤΜΓ'.) Ὁ νό-
„ μος ὑποτίθησι τὸν ἀνώτερον, ἐκ τύτυ τῦ ἀξιώματος δι᾽ ἀμέσυ συνεπέιας παράξεις τι-
„ τὶ τὸ πόρισμα, ἄρα ὁ ἴσος τῷ ἴσῳ νόμον ἐπιθεῖναι ὐ δύναται, ὡσαύτως ϰ, ἄρα
„ ὁ ἴσος τὸν ἴσον ἐπιδεσμεύειν ὐ δύναται.

## ΤΜϚ'.

Ἐκ τῆς συμβολῆς πολλῶν ὁρισμῶν καὶ προτάσεων τὰ θεωρήματα καὶ προβλήματα ἐκτελεῖται· περὶ ὧν (ΣΚΔ'. καὶ ΣΚΕ'.) Τὸν τοίνυν ἐθέλοντα θεωρήματα διὰ τῆς μελέτης εὑρίσκειν χρὴ ὁρισμὺς προκατασκευάζειν, ἐξ ὧν τῆς συζεύξεως πρότασίς τις γεννᾶται, ἐν ᾗπερ καταφάσκεταί τι μόνον, ἢ ἀποφάσκεται, καὶ ἑπομένως ἐςὶ θεωρητική (ΣΚ'.)

„ Ἵνα δὲ ὁ τῦ εὑρίσκειν τὰ θεωρήματα τρόπος σαφέςερος γένηται, λάβωμεν τὸν ὁρισμὸν
„ τῦ Θεῦ, ὅςτις ὁρίζεται πνεῦμα εἶναι ἀνεξάρτητον, καὶ τὸν ὁρισμὸν τῦ πνεύ-
„ ματος, ὅπερ ἐςὶν ὐσία νοητικὴ καὶ θελητική· ἐντεῦθεν νῦν ὕτως ἐπιχειρῶν ἕξεις.

Πᾶν πνεῦμα ἐςὶ νοητικὸν ϰ θελητικόν.

Ὁ Θεὸς ἐςὶ πνεῦμα.

Ἄρα ὁ Θεὸς ἐςὶ νοητικὸς ϰ θελητικός.

„ Εἰ δὲ ὁρίσειας τίποτ᾽ ἐςὶ τὸ νοητικὸν, ϰ γνοίης νοητικὸν εἶναι τὸν διακεκριμένως
„ τὰ πράγματα ἑαυτῷ παριςῶντα, ἀνακύπτει ἤδη ἑτέρα πρότασις αὕτη.
„ Ὁ Θεὸς τὰ πράγματα διακεκριμένως ἑαυτῷ παριςᾷ
„ Κἂν ὕτω συνεχῶς τὴν μελέτην ἐπιτελέσειε, καινὺς ἀεὶ ὁρισμὺς ὡς ἐπικυρίαν λαμβάνων,
„ εἰς τοιαύτας τέλος προτάσεις περιπεσῇ δι᾽ ὀρθῶν διανοημάτων ἐπιφορᾶς, ὁποίας ὐδέ-
„ ποτ᾽ ἂν προενεγκεῖν ἤλπισας. Ἀπόπειραν ποίησαι, ϰ ὐκ ἄνευ ὑπερβαλλύσης κα-
„ τὰ ψυχὴν ἡδονῆς γνώσῃ τὴν ὀρθὴν ϰ κατὰ κανόνας διανόησιν, ϰ ἑπομένως τὸν συλ-
„ λογισμὸν ὐ μικρὸν εἶναι φάρμακον εἰς τὴν εὕρεσιν τῆς ἀληθείας.

## ΤΜΖ'.

Τῦ προβλήματος ὄντος προτάσεως πρακτικῆς ἀποδεικτικῆς (ΣΚΕ'.) Εὐχερῶς κατανοεῖται τὴν τοιαύτην πρότασιν τῷ αὐτῷ εὑρίσκεσθαι τρόπῳ καθ᾽ ὃν τὸ θεώρημα ἀνιχνεύεται· δύο ἀμέλει ἢ πλείυς ὁρισμὺς συμπαραβάλλων ἀλλήλοις, ἐκ τῆς τύτων συμβολῆς παράξεις τὴν πρακτικὴν πρότασιν.

„ Παρ.

„ Παρ. χάρ. Εἴπερ ὁρίσειας τὰ προκρίματα, καὶ ἀναπτύξειας τίνα ποτ' ἂν ᾖ, τὸ τὴν θέλησιν ἐπανορθοῦν, ῥᾷστα διὰ τῆς μελέτης, ὡς ἐπικαιρίαν προσλαμβανομένων καὶ ἄλλως ἤδη προεγνωσμένων προτάσεων. ἡ πρακτικὴ αὕτη πρότασις ἀνακύψει, ἡ θέλησις διορθοῦται διὰ τῆς τῶν προκριμάτων ἐξαλείψεως. Ἐνίοτε, ὥσπερ ἀνωτέρω ὑπεμνήσαμεν (ΣΚΕ΄) Τὸ πρόβλημα ἀντὶ ζητήματος λαμβάνεται, ἐν ᾧ πρᾶξίς τις περιέχεται, πραχθησομένη· τὸν τρόπον οὖν δεικνύουσα καθ' ὃν πράγεται πρᾶξίς τις, ὥστε ἂν οὕτω λύηται τὸ πρόβλημα (ΣΚΕ΄.) Εἰς εὐτυχῆ δὲ καὶ ὀρθὴν τοῦ προβλήματος λύσιν ἀπαιτεῖται τὸ, τὰς αἰτίας τοῦ προαγομένου πράγματος ἐπεγνωσμένας ἔχειν. Ἔστω πρόβλημα, οἶκτον ἑτέρου ἀνεγεῖραι, ὅπερ οὖν τὴν γένεσιν καὶ τὰς αἰτίας ἔγνως τοῦ οἴκτου, ῥᾷστα λυθήσεταί σοι τὸ πρόβλημα. Ὁ οἶκτος ἀμέλει γεννᾶται ἐξ ἀγάπης οἶκτον οὖν τῷ ἑτέρῳ ἢ πρὸς σὲ, ἢ πρὸς ἄλλον τινὰ ἀνεγεῖραι βουλόμενος σπούδασον πρότερον, ἵνα ὁ ἕτερος ἀγαπήσῃ· τότε δ' ἐπιτυχὼν τοῦ ἑτέρου, ὅπερ ἤθελες ἀνεγεῖραι τὸν οἶκτον, τὴν ἀθλιότητα ἢ ἀτυχίαν τὴν σὴν δηλοποίει· καὶ ὑπεγερθήσεται ἐκείνῳ ἄχθος διὰ τὴν ἀτυχίαν τὴν σὴν οἶκτος καλούμενον.

## ΤΜΗ΄.

Τῶν θέσεων δὴ τούτων διὰ τῆς μελέτης εὑρεθεισῶν δι' ὀρθῆς τῶν διανοημάτων συναφείας, οὕτως αὐτὰς συζεύξεις, ὥστε κατὰ τὴν ἀπόδειξιν, οἰκείως ἀμέλει, τοῖς ἐν τῷ (ΤΥΕ΄.) Παραδοθεῖσι κανόσιν, ἁρμοδίως πάντα ἐφαρμόττειν. Ἐπεὶ δὲ ὁ τρόπος τῆς τῶν συλλογισμῶν ἤτοι διανοημάτων συναφείας, ἢ ἀναλυτικός ἐστιν, ἢ συνθετικὸς (ΤΥΕ΄.). Ἐντεῦθεν ἡ μελέτη διττὴ ἀναφαίνεται· ἀναλυτικὴ καὶ συνθετική. Περὶ ἧς πλείω ἐνώπιον.

## ΤΜΘ΄.

Ταῦτα μὲν περὶ μελέτης εἰπεῖν ἀπόχρη τῷ προκειμένῳ σκοπῷ· πλείω δ' ἂν προσθείην, ἀλλ' ἐπείπερ μετ' οὐ πολὺ περὶ τέχνης τοῦ μελετᾶν εἰδικὸν ὑπόμνημα Ἀκαδημιακὸν ἐκδοῦναι προεθυμήθην· ὅσα γ' ἐνταῦθα παραλείπεται, ἐν ἐκείνῳ ἀναπληρώσω.

„ Ἵνα δὲ οἱ περὶ μελέτης Κανόνες σαφέστερον νοηθῶσι, καὶ ὀρθότερον ἐφαρμοσθῶσι, παράδειγμα τῆς μελέτης ὑποβάλλω καταφανές. Θῶμεν παρ. χάρ. Ἐθέλειν σε πραγματεύεσθαι περὶ τῶν τοῦ φίλου χαρακτήρων· καὶ τοῦτο ἔτι ποιῶν, ὥστε πάντας τοὺς χα-

„ ρακ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ ἑκατέρας ἰδίᾳ μελέτῃ τῶν βίβλων τινὰς ἀποτιθεμένων ἰχνηλάτων. Τότε δὲ κατὰ τοὺς
„ κανόνας τῆς μελέτης οὕτω προβαίνειν.

„ §. Α. Ἐπιμελῶς σκέψαι περὶ τοῦ ὁρισμοῦ τοῦ φίλου κατὰ τὸν ὑποτεθέντα κανόνα (Υ. ΙΘ.)
„ Ὁρισμὸν δὲ καὶ ἔννοιαν διακεκριμένην τοῦ φίλου πορίσασθαι, τὰ ἠθικὰ συμβάσματα ἐν
„ οἷς ἄκων τις φίλος, ἀκριβῶς θεωρῶν, καὶ ταῦτα συμβάλλων πρὸς ἄλληλα, ὡς ἐξ
„ αὐτῶν κατὰ τοὺς ἐν τῷ (ΤΟΖ.) ἐκτεθέντας κανόνας τὴν καθόλου ἔννοιαν τοῦ φίλου ἀ-
„ φαιρῆσθαι. Ἀκολουθοῦντι δὲ τοῖς παραδοθεῖσι κανόσι, μελετήσοντι ὁρισμὸς τοῦ φίλου
„ παραχθήσεταί σοι ὅδε.

## Φίλος ἐςὶ πρόσωπον ἡμᾶς ἀγαπῶν.

„ §. Β. Τοῦ ὁρισμοῦ δὲ τοῦ φίλου οὕτω προκατασκευασθέντος, ἀπαντῶσι τοῖς ἠθικοῖς γνωρίσ-
„ μασι τοῖς ἐν τῷ ὁρισμῷ τῷδε πρόσεχε, κατὰ τὸν κανόνα τὸν ἐν τῷ (Υ. Μ Γ.) ἐκ-
„ τεθέντα, καὶ ἑπομένως τὴν τῆς ἀγάπης ἔννοιαν τὰ μάλιςα διερεύνα· καὶ τίνος ἐςὶ τὸ
„ ἀγαπᾶν ἕτερον ἀνάπτυσσε. Ἔςι δὲ τὸ ἀγαπᾶν ἕτερον οὐδὲν ἄλλο, ἢ τὸ ἐκ τῆς τοῦ
„ ἑτέρου εὐτυχίας ἡδονὴν λαμβάνειν.

„ §. Γ. Ἐκ τούτων τῶν ὁρισμῶν ἀξιώματα παράγεις κατὰ τὸ (Υ. Μ Η.) Ῥέουσι δὲ ἐκ τοῦ
„ ὁρισμοῦ τοῦ φίλου τὰ ἀξιώματα ταῦτα. (α.) Ὁ φίλος τὸν ἕτερον ἀγαπᾷ. (β.) Ὁ τὸν
„ ἕτερον μὴ ἀγαπῶν, οὐκ ἔςι φίλος. (γ.) Ὁ διεσμωθεὶς εἰς τὸ ἀγαπᾶν τὸν ἕτερον, οὗτος
„ ἐπιδέδεται εἶναι τῷ ἑτέρῳ φίλος. (δ.) Ἔνθα οὐδεμία ἐςὶν ἀγάπη, οὐδεμία ἐςὶ φιλία. (ε.)
„ Ἐν ᾧ βαθμῷ ἡ ἀγάπη, ἐν τοσούτῳ καὶ ἡ φιλία. (ϛ.) Ὁ ἀποτελῶν τὸν ἕτερον ἀγαπᾶν
„ αὐτόν, οὗτος τὸν ἕτερον φίλον ἑαυτῷ ἀπεργάζεται. (ζ.) Τὸ τῷ ἑτέρῳ ἀνεγεῖρον ἀγά-
„ πην, τὸν ἕτερον ἡμῖν ἀποδίδωσι φίλον. (η.) Πᾶν ὅ,τι κωλύει τὴν ἀγάπην, ἀναι-
„ ρεῖ τὴν φιλίαν.

„ §. Δ. Ἐκ τοῦ ὁρισμοῦ τοῦ ἀγαπᾶν παράξεις τὰ ἀξιώματα τάδε. (Α.) Ὁ τὸν ἕτερον ἀγα-
„ πῶν τῇ τοῦ ἑτέρου ἥδεται εὐτυχίᾳ. (Β.) Ὁ ἐπιδεσμωθεὶς τῷ ἐκ τῆς τοῦ ἑτέρου εὐτυχίας
„ ἡδονὴν λαμβάνειν ἐπιδέδεται τῷ τὸν ἕτερον ἀγαπᾶν. (Γ.) Πᾶν ὅ,τι ἡμῖν διακωλύεται
„ ἐκ τῆς τοῦ ἑτέρου εὐτυχίας ἡδονὴν λαμβάνειν, διακωλύεται τὸν ἕτερον ἀγαπᾶν. (Δ.)
„ Τὸ ἡδονὴν προάγον ἐκ τῆς τοῦ ἑτέρου εὐτυχίας, προάγει τὴν ἀγάπην. (Ε.) Τὸ
„ κωλῦον τὴν ἡδονὴν ἐκ τῆς τοῦ ἑτέρου εὐτυχίας, κωλύει τὴν ἀγάπην.

„ §. Ε. Ἐκ τούτων ἤδη τῶν ὁρισμῶν ἀλλήλοις συμβαλλομένων τὸ θεώρημα ἀποτελεῖται
„ τοδί. Ὁ φίλος χαίρει τῇ τοῦ ἑτέρου εὐτυχίᾳ.

„ Δεῖξιν. Ὁ τὸν ἕτερον ἀγαπῶν τῇ τοῦ ἑτέρου ἥδεται εὐτυχίᾳ. (§. Δ. ἀξίωμα ά.) Ἀλλ᾽ ὁ
„ φίλος τὸν ἕτερον ἀγαπᾷ (§. Γ. ἀξίωμα ά.) Ἄρα ὁ φίλος τῇ τοῦ ἑτέρου χαίρει
„ εὐτυχίᾳ.

„ §. ϛ. Ἐκ τούτου δὲ τοῦ θεωρήματος ἄνευ πολλῶν διανοημάτων, τὰ ἑπόμενα παράξεις
„ πορίσματα. ά. Ἄρα ὁ φίλος οὐκ ἄχθεται τοῦ ἀγαπωμένου προσώπου εὐτυχοῦς ὄντος.
„ β. Ἄρα ὁ φίλος, τοῦ ἀγαπωμένου προσώπου δυςυχοῦς ὄντος, ἄχθεται.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ τιτ.Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ §. Ζ΄. Ἐξ αἰτίας τῶν δὲ τῶν πορισμάτων ὑπέρχεταί σοι τὸν ἀχθόμενον ἐπὶ τῇ τοῦ ἑτέρου εὐτυχίᾳ λέγεσθαι φθονερόν. Καὶ τὸν ἀχθόμενον ἐπὶ τῇ τοῦ ἑτέρου ἀτυχίᾳ οἰκτίρμονα λέγεσθαι.

„ §. Η΄. Ἐντεῦθεν αἱ προτάσεις αὗται, ἤτοι θεωρήματα ἀναφαίνονταί σοι αὐτόματα. Θεώρημα Α΄. ὁ φίλος οὐκ ἔστι φθονερός. Δεῖξις· ὁ ἀχθόμενος ἐπὶ τῇ τοῦ ἑτέρου εὐτυχίᾳ ἐστὶ φθονερός (§. Ζ΄) Ἀλλ᾽ ὁ φίλος οὐκ ἄχθεται ἐπὶ τῇ τοῦ ἑτέρου, ἤτοι τοῦ ἀγαπωμένου προσώπου εὐτυχίᾳ (§. ς΄. πόρισμα α΄) Ἄρα ὁ φίλος οὐκ ἔστι φθονερός. Θεώρημα Β΄. ὁ φίλος οἴκτῳ κάμπτεται τοῦ ἀγαπωμένου προσώπου. Δεῖξις· ὁ ἀχθόμενος ἐπὶ τῇ τοῦ ἑτέρου ἀτυχίᾳ, οἴκτῳ κάμπτεται τῷ τοῦ ἑτέρου. (§. Ζ΄.) Ἀλλ᾽ ὁ φίλος ἄχθεται ἐπὶ τῇ τοῦ ἀγαπωμένου προσώπου ἀτυχίᾳ (§. ς΄. πόρισ. Β΄) Ἄρα ὁ φίλος οἴκτῳ κάμπτεται τῷ τοῦ ἀγαπωμένου προσώπου.

„ §. Θ΄. Κατὰ ἐντεῦθεν ἑξῆς αὖθις πορίσματα (Α΄.) Ἄρα ὁ βασκανίᾳ κρατούμενος οὐκ ἔστιν ἐπιτήδειος εἰς φιλίας ἐπιτυχεῖν. (Β΄.) Ἄρα ὁ μὴ ὅλως οἰκτείρων τὸν ἕτερον, καὶ ἐκ τῆς ἀτυχίας, εἰ δύναιτο μὴ ἐθέλων ἐξαρπάζειν αὐτόν, οὐκ ἂν ἑαυτὸν εἴποι φίλον.

„ §. Ι΄. Εἴπερ ἐν τῷ μελετᾶν περαιτέρω προβαίνειν ἀξιώσαις, καὶ ἀκριβῶς ἀναπτύσσειν τί ποτ᾽ ἐστὶ τὸ χαίρειν ἐπὶ τῇ εὐτυχίᾳ τοῦ ἄλλου, πλεῖσται προτάσεις αὐτομάτως ἀναφανήσονται, οὐδέ ποτ᾽ ἂν ὑποληφθεῖσαι, ἐντεῦθέν σοι παραχθήσονται· ἀπόπειραν, εἰ δοκεῖ, ποιησώμεθα, καὶ τί ποτ᾽ ἐστὶν ἡ χαρά, ἤτοι ἡ ἡδονή, τί τε ἡ εὐτυχία ἀναπτύξωμεν.

„ §. ΙΑ΄. Ἡδονὴ ἤτοι χαρά ἐστιν, αἴσθησις τελειότητος. Εὐτυχία δὲ ἐστι στάσις μονίμου χαρᾶς.

„ §. ΙΒ΄. Ἐντεῦθεν τὰ ἀξιώματα ταῦτα ἐξάγονται. (α΄) Ὁ ἐπί τινι πράγματι χαίρων, τοῦ πράγματος, ᾧπερ ἥδεται, ὥσπερ εὐτυχοῦς, ἤτοι ἀγαθοῦ αἰσθάνεται καὶ ἑαυτῷ παριςᾶ. (Β΄.) Ὁ ἐπιδεσμευθεὶς τῷ προάγειν τῷ ἑτέρῳ αἴσθησιν τελειότητος, ἐπιδέδεται ἔτι προάγειν τὴν τοῦ ἑτέρου χαράν. (γ΄.) Τὸ ἐπιτάττον ἡμῖν αἴσθησιν τελειότητος τῷ ἑτέρῳ προάγειν, ἐπιτάττει προάγειν τὴν τοῦ ἑτέρου χαράν.

„ §. ΙΓ΄. Ἐκ τοῦ ὁρισμοῦ τῆς εὐτυχίας παράγεται τὰ ἐφ᾽ ἑξῆς ἀξιώματα (α΄.) Ὁ χαίρων ἐπὶ τῇ τοῦ ἑτέρου εὐτυχίᾳ, χαίρει τῇ τοῦ ἑτέρου στάσει ἐν μονίμῳ χαρᾷ. (β΄.) Ὁ προάγων τὴν τοῦ ἑτέρου στάσιν, ἐν μονίμῳ χαρᾷ, προάγει τὴν τοῦ ἑτέρου εὐδαιμονίαν. (γ΄.) Ὁ ἐπιτάττων ἡμῖν τὴν τοῦ ἑτέρου στάσιν ἐν μονίμῳ χαρᾷ προάγειν, ἐπιτάττει τὴν τοῦ ἑτέρου εὐδαιμονίαν παράγειν. (δ΄.) Ὁ ἐπιδεσμευθεὶς τῷ προάγειν τῷ ἑτέρῳ τὴν στάσιν τῆς μονίμου χαρᾶς, ἐπιδέδεται τὴν τοῦ ἑτέρου εὐδαιμονίαν προάγειν.

„ §. ΙΔ΄. Τῶν ὁρισμῶν τούτων τοῖς ἀνωτέρω ὁρισμοῖς, ἢ ἑτέραις προτάσεσι παραβαλλομένων νέα παραχθήσονται θεωρήματα· Θεώρ. Α΄. Ὁ φίλος τὴν τοῦ ἑτέρου εὐδαιμονίαν ἑαυτῷ παρίστησιν, ὥσπερ τι ἀγαθόν. Δεῖξ. Ὁ χαίρων ἐπί τινι πράγματι, τὸ ᾧ ἐπιχαίρει πρᾶγμα, ἑαυτῷ παρίστησιν, ὥσπερ τι ἀγαθόν. (§. ιβ΄. ἀξίωμα α΄.) Ἀλλ᾽ ὁ φίλος ἐπὶ τῇ εὐδαιμονίᾳ ἥδεται τοῦ ἑτέρου (§. ι΄.) Ἄρα ὁ φίλος τὴν τοῦ ἑτέρου εὐδαιμονίαν ἑαυτῷ παρίστησιν, ὥσπερ τι ἀγαθόν, Θεώρ. Β΄. Ὁ φίλος χαίρει τῇ τοῦ ἑτέρου στάσει ἐν μονίμῳ χαρᾷ. Δεῖξ. Ὁ χαίρων ἐπὶ τῇ τοῦ ἑτέρου εὐδαιμονίᾳ, χαίρει καὶ τῇ τοῦ ἑτέρου στάσει ἐν μονίμῳ χαρᾷ (§. ιγ΄. ἀξίωμα Α΄.) Ἀλλ᾽ ὁ φίλος χαίρει ἐπὶ τῇ τοῦ ἑτέρου

„ εὐδαι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ εὐδαιμονία (§ ι.) Ἄρα ὁ φίλος χαίρει καὶ τῇ τοῦ ἑτέρου στάσει ἐν μονίμῳ χαρᾷ. Θεώρη-
„ μα Γ. Ὁ φίλος τὴν τοῦ ἑτέρου μόνιμον χαρὰν ὥσπερ τι ἀγαθὸν ἑαυτῷ παρίστησι.
„ Δεῖξ. Ὁ χαίρων ἐπί τινι πράγματι, ὥσπερ τι ἀγαθὸν ἰδίῳ παρίστησιν ἑαυτῷ (§.
„ ιβ΄. ἀξίωμ. Α.) Ἀλλ᾽ ὁ φίλος τῇ τοῦ ἑτέρου χαίρει μονίμῳ χαρᾷ (κατὰ τὸ προ-
„ λαβὸν θεώρημα) ἄρα ὁ φίλος τὴν τοῦ ἑτέρου μόνιμον χαρὰν, ὥσπερ ἀγαθόν τι ἑαυτῷ
„ παρίστησι.

„ §. ΙΕ΄. Τούτων δὴ τῶν θεωρημάτων διὰ τῆς μελέτης παραχθέντων, ὁ τῆς ὀρέξεως νό-
„ μος μάλιστα ἀπαντήσει σοι, καθ᾽ ὅν περ ἡ ψυχὴ παντὸς τούτου ἐφίεται, καὶ προά-
„ γειν σπουδάζει, ὅπερ ἑαυτῇ ὥσπερ ἀγαθόν τι παρίστησι.

„ §. Ις΄. Ὅθεν καιναὶ ἤδη προτάσεις προέρχονται αἱ ἑπόμεναι. Θεώρ. Α΄. Ὁ φίλος τῆς
„ τοῦ ἑτέρου εὐδαιμονίας, καὶ ἑπομένως τῆς τοῦ ἑτέρου μονίμου χαρᾶς ὀρέγεται, καὶ προά-
„ γειν σπουδάζει. Δεῖξ. Ὅ,τι δηλονότι ἡμῖν, ὥσπερ τι ἀγαθὸν παρίσταται, τούτου ὀρε-
„ γόμεθα, καὶ προάγειν σπουδάζομεν (§. ιε.) Ἀλλ. ὁ φίλος τὴν τοῦ ἑτέρου εὐδαιμονίαν καὶ
„ στάσιν τῆς μονίμου χαρᾶς, ὥσπερ ἀγαθὸν ἑαυτῷ παρίστησι (§. ιδ΄. Θεώρ. β΄ καὶ Γ΄.)
„ Ἄρα ὁ φίλος τῆς τοῦ ἑτέρου εὐδαιμονίας καὶ ἑπομένως τῆς μονίμου χαρᾶς ὀρέγεται καὶ
„ προάγειν σπουδάζει.

„ §. ΙΖ΄. Ἐξ οὗ τὰ πορίσματα ταῦτα αὐτόματα ἀνακύπτει. α΄. Ἄρα ὁ φίλος τοῦτο πᾶν
„ φυλάττεται τῷ ἑτέρῳ μὴ ἐνοχλεῖν. β΄. Ἄρα ὁ φίλος οὐδεμίαν ἀφορμὴν παραλείπει,
„ δι᾽ ἧς περ τὴν ἡδονὴν καὶ χαρὰν τοῦ ἀγαπωμένου προσώπου προάγειν δυνατά.

„ §. ΙΗ΄. Προβαίνει δὲ περαιτέρω καὶ τὴν ἔννοιαν τῆς μονίμου χαρᾶς ἀναπτύσσων, εὑρή-
„ σεις μόνιμον εἶναι χαρὰν, ἡδονὴν ἐξοχωτέραν, ἐκ τῆς κτήσεως τῶν ἀληθῶν τελειο-
„ τήτων γιγνομένην.

„ §. ΙΘ΄. Ἐντεῦθεν ῥεῖ τὸ ἀξίωμα τόδε. Ὁ τὴν τοῦ ἑτέρου μόνιμον προάγων χαρὰν,
„ προάγει τὰς τοῦ ἑτέρου τελειότητας.

„ § Κ΄. Ἰδοὺ νῦν καινὴ πρότασις ἐκ τούτων παραγομένη.

„ Θεώρημα. Ὁ φίλος τὰς τοῦ ἑτέρου τελειότητας προάγει.

„ Δεῖξ. Ὁ τὴν τοῦ ἑτέρου μόνιμον προάγων χαρὰν, προάγει τὰς τοῦ ἑτέρου τελειότητας
„ (§ ιθ΄.) Ἀλλ᾽ ὁ φίλος τὴν τοῦ ἑτέρου μόνιμον προάγει χαρὰν (§. ις΄.) Ἄρα ὁ φί-
„ λος τὰς τοῦ ἑτέρου τελειότητας προάγει.

„ §. ΚΑ΄. Ἐντεῦθεν ὑπέρχεταί σοι ὁ νόμος τῆς φύσεως τῇ προτάσει ταύτῃ πληρούμε-
„ νος. Τὰς σὰς καὶ τὰς τῶν ἄλλων τελειότητας δίωκε· κἀντεῦθεν αὐτομάτως αἱ ἐφεξῆς
„ προτάσεις προέρχονται.

„ §. ΚΒ΄. Ἄρα ὁ φίλος φυλάττει τὸν νόμον τῆς φύσεως (§. Κ. καὶ ΚΑ.) Ἄρα ἡμᾶς
„ ὀφείλομεν τὴν φιλίαν περιποιεῖσθαι. Ἄρα ὁ τοὺς ἀνθρώπους ἐχθραίνων αὐτῷ ἀνοίκεια
„ ἐκτελεῖ τῷ νόμῳ τῆς φύσεως. Ἄρα τῇ θείᾳ θελήσει σύμφωνόν ἐστι τὸ τοῖς ἑτέροις
„ γίνεσθαι φίλος.

„ Προτάσεις ἐκ τούτων ἔτι, τὸν ἀριθμὸν νικῶσαι, διὰ τῆς μελέτης παράγεσθαι δύνανται,
„ τούτου ἀεὶ παρατηρουμένου, τὰς ἀπαιτούσας ἐννοίας ἀεὶ ὁρίζεσθαι. Καὶ τὰς ὑπεπομέ-
„ νας

„ νας προτάσεις ταῖς ἡγουμέναις ὀρθῶς συνάπτεσθαι. Τὰ δ' ἐνταῦθα ἔτι σημειωθῆ-
„ ναι δυνάμενα, ἡ ὑπόθεσις αὕτη, πολλάκις, περὶ ἧς τὴν μελέτην ποιεῖς, ϗ αἱ λοι-
„ παὶ τῆς ὑποθέσεως περιςάσεις διδάξουσί σε κατὰ τὴν διαφορὰν τοῦ μελετωμένου πράγ-
„ ματος, διάφορος πολλάκις ἀπαιτᾶται ἡ τάξις, ϗ ἑπομένως ἄλλος τις τῶν διανοημά-
„ των πρὸς τὴν τάξιν σχηματισμός.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006